**Galen, Claudius, 131-201**

**Contributors**

Galen, Claudius, 131-203

**Publication/Creation**

Late 16th Century

**Persistent URL**

https://wellcomecollection.org/works/nu3h5h2e

**License and attribution**

This work has been identified as being free of known restrictions under copyright law, including all related and neighbouring rights and is being made available under the Creative Commons, Public Domain Mark.

You can copy, modify, distribute and perform the work, even for commercial purposes, without asking permission.

wellcome collection

Wellcome Collection
183 Euston Road
London NW1 2BE UK
T +44 (0)20 7611 8722
E library@wellcomecollection.org
https://wellcomecollection.org

43753 Ⓐ

Galen
"O

MS. No.289.

WELLCOME HISTORICAL MEDICAL LIBRARY

ACCESSION NUMBER
43753A
PRESS MARK

[illegible]

ιc. xc

7. L. 2711. 1
43753A

# Γαληνοῦ ὅροι ἰατρικοί.

Τὴν τῶν ὅρων πραγματείαν, πολυωφελεστάτην ὑπάρχουσαν πᾶσι τοῖς ἰατροῖς μάλιστα δὲ καὶ τοῖς εἰσαγομένοις τῶν νέων, ἐπείγομαι καθὼς ἠξίωσας, καὶ συναγαγεῖν, καὶ ἀναγράψαι ἰατρὲ ἄριστε τεῦθραν. τῆς γὰρ ἰατρικῆς τέχνης διωφελοῦς οὔσης, καὶ ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων εὑρημένης, ἐχούσης πολλὰ καὶ καλὰ θεωρήματα, καὶ δυσεφίκτου δοκούσης τυγχάνειν, χρησιμώτατοι γενήσονται οἱ ὅροι, δι' ὀλίγων τὰ πολλὰ διδάσκειν δυνάμενοι. ἐν πάσαις γὰρ ταῖς τέχναις, καὶ ταῖς ἐπιστήμαις, ἀρίστη διδασκαλία, οὐχὶ ἡ διὰ πολλῶν καὶ ἀπείρων, ἀλλὰ δι' ὀλίγων καλῶς γινωσκομένη. οἱ μὲν οὖν ἀρχαῖοι καὶ οἱ πρὸ ἱπποκράτους γενόμενοι, ὧν ἡμεῖς τοῖς βιβλίοις ἐντυγχάνομεν οὔτε τῶν ἐλαττόνων τῶν κατὰ τέχνην, οὔτε πολλὰ συγγράμματα ἀπέλιπον, ἀλλὰ πάνυ ὀλίγα. τούτου μὲν οὖν ἐπαινεῖν ἄξιον, ὅτι πρῶτοι ταῖς ἐπιβολαῖς ἐχρήσαντο, καὶ ἐσπούδασαν εὑρεῖν τι χρήσιμον τῷ βίῳ. ἐπιγενόμενος δὲ τούτοις ἱπποκράτης, τήν τε ἰατρικὴν συνέγραψε, καὶ ηὔξησεν αὐτήν, ἐν τῷ περὶ τέχνης, ἀρχηγὸς ἀπὸ τῶν καλῶν γενόμενος· περὶ τούτου οὖν πάντες οἱ ἕλληνες μνημονεύσουσιν εἰς αἰῶνα. ἐπειδὴ πρὸς κοινὸς εὐεργέτης ἁπάντων ἐγένετο. μετὰ δὲ τοῦ τούτου χρόνου οἱ γενόμενοι,

συνέγραψαν ὅρους. καὶ οὗτοι δὲ οὐ πάντες. δοκοῦσι δὲ
ἐπὶ πλεῖστον γεγονέναι, ἐν τῇ τοιαύτῃ θεωρίᾳ. οἵ τε ἀπὸ
τῆς Ἡροφίλου αἱρέσεως, καὶ Ἀπολλώνιος ὁ Μεμφί-
της. ἔτι δὲ καὶ Ἀθήναιος ὁ Ἀτταλεύς, ἀλλὰ καὶ οὗτοι
οὔτε τῇ τάξει τῇ δεούσῃ ἐχρήσαντο, οὔτε συνήγαγον τὴν
πραγματείαν, ἀλλὰ διεσπαρμένως ἐν τοῖς βιβλίοις συν-
έγραψαν. ἔτι δὲ καὶ ἐνδεῶς ἀνεγράφησαν. οὐ γὰρ
πάντα ὡρίσαντο, τὰ κατὰ τὴν ἰατρικήν. ὅτι δὲ ἐλλα-
λιπῶς λέγομεν, δυνατόν σοι καταμαθεῖν ἐντυγχάνοντι
τοῖς τῶν εἰρημένων ἀνδρῶν συγγράμμασιν. ἡμεῖς
δὲ πολὺν λόγον συνενεγκάμενοι, καὶ τοὺς εἰρημένους
μὲν ὑπὸ τῶν πρεσβυτέρων ὅρους ἐν ταῖς λέξεσιν
ἀναγραψάμενοι, τὴν τάξιν δὲ τὴν δέουσαν αὐτοῖς ἐπι-
θήσομεν. καὶ ἔτι νῦν δὲ τοὺς μὴ εἰρημένους, ὑπὸ τῶν
παλαιοτέρων αὐτοὶ ποιήσαντες καὶ συντάξαντες, καὶ
ὡς ἐκέλευσας καὶ σύ, τὴν συναγωγὴν ποιήσομαι τε-
λείαν. ταύτης ἐγὼ πείθομαι ἀγαθωτέραν μὴ γε-
γονέναι, μήτε ἔσεσθαι χρησιμωτέραν τοῖς εἰσαγομένοις
τῶν νέων. ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον. ἀναγκαῖον
δ᾽ εἰπεῖν πρῶτον, τί χρησιμώτατον, καὶ τῇ τάξει τῆς
διδασκαλίας ἁρμοδιώτατον, καὶ διασαφῆσαι τί ἐστιν
α' αὐτὸς ὁ ὅρος, εἶθ᾽ ἑξῆς τοὺς ὅρους ἀποδεῖξαι:
Ὅρος τοίνυν κατ᾽ ἐνίους ἐστὶ λόγος    Τί ἐστιν ὅρος

δηλαδή, ποῖον ἐστὶν ἐκεῖνο, οὗ ἐστὶν ὁ λόγος. δύναται
δὲ καὶ οὕτως. ὅρος, ἐστὶ λόγος ἐννοίας. γίνεται δὲ καὶ
οὕτως ὡρίσαντο. ὅρος ἐστὶ λόγος κατ᾽ ἀνάλυσιν ἀπαρ-
τιζόντων. ὅρος ἐστὶ διὰ βραχείας ὑπομνήσεως, εἰς
ἔννοιαν ἡμᾶς ἀνάγων τῶν ὑποτεταγμένων ταῖς φω-
ναῖς πραγμάτων. καὶ ὅρος ἐστὶ λόγος, ὁ τὸ εἶναι δηλῶν.
καὶ λόγος τὴν ἔννοιαν ἡμῖν πράγματος δεικνύον τε,
ἢ σαφηνίζων:~ τί ἐστι διορισμός.

Διορισμός ἐστι, πράγματος ὡς καθόλου λεγομένου,
μὴ ὄντος δὲ καθόλου κατὰ πρόσθεσιν εἰς τὸ καθόλου
περιαγωγή:~ τί ἐστιν ὑπογραφή

Ὑπογραφή ἐστι, λόγος τυπωδῶς εἰσάγων εἰς τὴν τοῦ
δηλουμένου πράγματος γνῶσιν. οἱ δέ, οὕτως. ὑπογρα-
φή ἐστι λόγος τυπωδῶς ἐμφανίζων τὰ πράγματα:~

Ἐπιστήμη ἐστὶ κατάληψις τί ἐστι ἐπιστήμη.
ἀσφαλής, καὶ ἀμετάπτωτος ὑπὸ λόγου. δύναται δὲ καὶ
οὕτως ὁρίσασθαι. ἐπιστήμη ἐστὶν ἕξις ἐν φαντα-
σιῶν δόξαν ἀμετάπτωτον, ὑπὸ λόγου περιεχομένη:~

Τέχνη ἐστί, σύστημα ἐκ καταλή- τί ἐστι τέχνη
ψεων συγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν
ἐν τῷ βίῳ. ἢ οὕτως. τέχνη ἐστὶ σύστημα ἐκ καταλή-
ψεων συγγεγυμνασμένων, ἐφ᾽ ἓν τέλος, τὴν ἀνα-
φορὰν ἐχόντων:~ τί ἐστιν ἰατρική

Ἱπποκράτης ἐν τῷ περὶ τέχνης, ὡρίσατο τὴν ἰατρικὴν
οὕτως. πρῶτον μὲν αὐτήν. ὀνομάζων ἰατρικὴν

Ἰς Χς

εἶναι. τὸ δὲ γὰρ παντάπασιν ἀπαλλάσσειν τῶν νοσημάτων τοὺς κάμνοντας, καὶ τὸ τὰς σφοδροτέρας τῶν νοσημάτων ἀμβλύνειν. καὶ τὸ μὴ ἐγγίγνεσθαι τοῖς κεκρατημένοις ὑπὸ τῶν νοσημάτων ἄδηλον, ὅτι πάντα ταῦτα δύναται ἡ ἰατρική. οἱ δὲ πλέοσι, οὕτως ὡρίσαντο. Ἰατρική ἐστι τέχνη διατηρητικὴ ὑγιαινόντων, καὶ θεραπευτικὴ νοσούντων:~

τί ἐστιν αἵρεσις

Αἵρεσίς ἐστι πλῆθος δογμάτων πρὸς ἄλληλα καὶ τὰ φαινόμενα συντεταγμένων, καὶ ἐφ' ἓν τέλος ἐχόντων τὴν ἀναφοράν. ἢ οὕτως, αἵρεσίς ἐστι σύστημα δογμάτων ἀκολουθούντων ἀλλήλοις τε καὶ τῶν φαινομένων, ἢ νομιζομένων ἀκολουθεῖν. δύναται δ' ἄν τις καὶ οὕτως εἰπεῖν. αἵρεσίς ἐστι συγκατάθεσις πλήθει δογμάτων ἀλλήλοις καὶ τοῖς φαινομένοις ἀκολουθούντων. ἢ νομιζομένων ἀκολουθεῖν. ἀφορίζεται δὲ, καὶ τοιοῦτός τις ὅρος. αἵρεσίς ἐστι πρόσκλισις πλήθει δογμάτων ἀκολουθίαν ἐχόντων ἑαυτοῖς, καὶ τοῖς φαινομένοις. ἢ οὕτως. αἵρεσίς ἐστι πρόσκλισις ἐπὶ πλῆθος δογμάτων ἀκολουθίαν ἐχόντων πρὸς ἄλληλα ἐφ' ἓν τέλος:~

τί ἐστι δόγμα

Δόγμα ἐστί, τὸ μὲν, ἴδιον. τὸ δὲ κοινῶς λεγόμενον. κοινῶς μὲν ἡ ἐνάργεια πράγματος συγκατάθεσις. ἰδίως δὲ, μᾶλλον ἡ λογικὴ αἵρεσις δογματικὴ κέκληται:~

Ἰατρικαὶ αἱρέσεις — πόσαι κατὰ ἰατρικὴν αἱρέσεις

αἱ πρῶται, δύο. ἐμπειρική, καὶ λογική, καὶ τρίτη μεθοδική. δοκεῖ δὲ τετάρτην αἵρεσιν ἐξευρεῖν Ἀγαθῖνος

ὁ Λακεδαιμόνιος. ὃν ὠνόμασεν ἐπισυνθετικήν. ἔν-
ιοι δὲ ἐκλεκτικήν :~ Τί ἐστι ἐμπειρική

Ἐστι δὲ ἡ μὲν ἐμπειρικὴ αἵρεσις, τῶν πλειστάκις καὶ
κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως ἑωραμένων :~ Τί ἐστι λογική

Ἡ δὲ λογικὴ αἵρεσίς ἐστιν, ἐπισκέψεις περὶ ἀδήλων, καὶ
ἔργα τὰ αὐτῶν ἰατρικῆς ταύτῃ ἑπόμενα :~ Τί ἐστι

Μεθοδική ἐστι, λόγος ἀποφαινομένου · μεθοδικὴ
ὁρμωμένη, καὶ ἀδήλου κατάληψιν ποιουμένη. οἷον
τὸ ἱδρῶτας εἶναι, πόρους· οἱ μὲν γὰρ ἱδρῶτες πράγ-
μα φαινόμενόν ἐστι. τὸ δὲ πόρους εἶναι, ἄδηλον ὑπάρχει :~

Συλλογισμός ἐστι λόγος, Τί ἐστι συλλογισμός
ἐν ᾧ τεθέντων τινῶν, ἕτερόν τι τῶν τεθέντων κατ' ἀν-
άγκην συνάγ~~εσθ~~εται πρότερον ἀγνοούμενον ~~τῆς διά-
νοιας εἰς ἐπίστασιν ἄγον~~ :~ ~~Τί ἐστι θεώρημα~~

Ἐπιλογισμός ἐστι λόγος, τὸ Τί ἐστιν ἐπιλογισμός
προεκφερόμενον τῆς διανοίας εἰς ἐπίστασιν ἄγον :~

Θεώρημά ἐστι πρᾶγμα καθολικόν, Τί ἐστι θεώρημα
ἀκολούθως τεθέμενον τοῖς τῆς ἰατρικῆς τέλει, ἢ ἀξίω-
μα καθολικὸν συμπληρωτικὸν τῆς ἰατρικῆς. καὶ θεώρημά
ἐστιν, οὗ τὸ ἐναντίον ἐκβαλὸν ἐστιν ὡς τὸ πολύ. καὶ
θεώρημά ἐστιν, οὗ τὸ ἐναντίον, σπανίως ἐκβαλόν :~

Ἀμφίδοξόν ἐστιν, οὗ τὸ ἐναντίον Τί ἐστιν ἀμφίδοξον
ἐπίσης ἐκβαλόν :~ Τί ἐστι τέλος

Τέλος ἐστίν, οὗ ἕνεκεν τὰ κατ' ἰατρικὴν πράττεται. καὶ
οὕτως. τέλος ἐστὶν ἐφ' ὃ πάντα ἀναφέρεται τῶν κατὰ
ἰατρικήν. δύναται καὶ οὕτως ὡρίσασθαι τέλος ἐστὶ κατ'
ἰατρικήν, οὗ τυχόντες, οὐδενὸς ἔτι δεόμεθα :~

Τέλειος ἀγαθός ἐστιν, ὁ ἐν θεωρίᾳ — Τί ἐστι τέλειος ἀγαθός
καὶ πράξει ἀπηρτισμένος :~ — Τίς ἄξιος ἀγαθός
Ἄξιος ἀγαθός ἐστιν, ὁ πάντα πράττων ἐν ἰσαξίᾳ, κα-
τὰ τὸν ὀρθὸν λόγον :~ — Τί ἐστιν ἄνθρωπος
Ἄνθρωπός ἐστι ζῷον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης
δεκτικόν :~ — Τί ἐστι ζῷον
Ζῷόν ἐστιν οὐσία ἔμψυχος αἰσθητική, καθ᾽ ὁρμὴν καὶ
προαίρεσιν κινουμένη :~ — Τί ἐστι ψυχή
Ψυχή ἐστιν οὐσία ἀσώματος αὐτοκίνητος κατὰ Πλά-
τωνα· κατὰ δὲ τοὺς στωϊκοὺς, σῶμα λεπτομερὲς· ἐξ
ἑαυτοῦ κινούμενον· καὶ σωματικὸς λόγος· κατὰ δὲ
τὸν Ἀριστοτέλην, ἐντελέχεια σώματος ὀργανικοῦ φυσι-
κοῦ, δυνάμει ζωὴν ἔχοντος :~ — Τί ἐστι σῶμα
Σῶμά ἐστι μέγεθος, τριχῇ διαστατόν· ἔχον ἐν ἑαυτῷ μῆ-
κος· βάθος· πλάτος· ἢ μέγεθος ἐν τρισὶ διαστήμασι
συνεστηκός :~ — Τί ἐστι στοιχεῖον
Στοιχεῖόν ἐστιν, ἐξ οὗ πρώτου καὶ ἁπλουστάτου, τὰ πάντα,
καὶ εἰς ὃ ἁπλούστατον τὰ πάντα ἀναλυθήσεται, Ἀθήναιος
δὲ ὁ Ἀτταλεὺς, ἐν τῷ ἕκτῳ βιβλίῳ, φησὶν οὕτως :~
Στοιχεῖά ἐστι τῆς ἰατρικῆς, — Τίνα ἐστὶ στοιχεῖα τῆς ἰατρικῆς
καθάπερ τινὲς τῶν ἀρχαίων ὑπέλαβον· τὸ θερμὸν, καὶ
τὸ ψυχρὸν, καὶ τὸ ὑγρὸν, καὶ τὸ ξηρόν· ἐξ ὧν πρώτων
φαινομένων καὶ ἁπλουστάτων, καὶ ἐλαχίστων, ὁ ἄνθρωπος
συνέστηκε· καὶ εἰς ἔσχατα καὶ ἁπλούστατα φαινόμενα,
τάχιστα τὴν ἀνάλυσιν λαμβάνει :~ — Τί ἐστι στοιχειῶδες
Στοιχειῶδές ἐστιν, ἢ τῶν αὐτῶν ἢ τὸ αὐτὸ καὶ ὡσαύτως

Ἀμὸν [illegible]

διδασκαλία. ὁ δὲ οὕτω· στοιχειωτικός ἐστιν ἀπὸ στοιχείων
ἐπὶ τὸ τέλος ὁδός :— Ἐκ τίνων σύγκειται τὰ ἡμέτερα
Ἐκ στερεῶν καὶ ὑγρῶν, καὶ πνευμάτων· στερεὰ σώματα·
μὲν οὖν ἐστιν, ὀστᾶ, χόνδροι, νεῦρα, μύες, φλέβες, ἀρ-
τηρίαι, καὶ τὰ ἐγκατάληπτα σπλάγχνα· ὑγρὰ δὲ, οἱ χυμοὶ
καὶ τὰ περιττώματα· τὸ δὲ πνεῦμα τὸ ἔμφυτόν ἐστι θερ-
μὸν τὸ ἐν τῇ καρδίᾳ :~ τί ἐστιν ἀνατομὴ
Ἀνατομή ἐστι θεωρία τῶν ἐγκαταλήπτων, ὅτι τῆς ἀνατομικῆς
εἴδη δύο· τὸ μὲν κατ' ἐπιτήδευσιν· τὸ δὲ κατὰ περίπτωσιν·
κατ' ἐπιτήδευσιν μὲν οὖν ἐστιν, ἡ ὑπὸ τῶν δογμάτων
παραλαμβανομένη, ἕνεκα τῶν ἐγκαταλήπτων, ἤτοι ἐπὶ ζών-
των, ἢ ἐπὶ τετελευτηκότων· καὶ ἤτοι ὅλων, ἢ μερῶν· κατὰ
περίπτωσιν δὲ, ἐκ συντυχίας· ἡ ὑπὸ μεγάλης ἑλκώ-
σεως γενομένης· προσχρῶνται δὲ αὐτῇ μόνοι οἱ ἐμ-
πειρικοί :~ τί ἐστι χειρουργία
Χειρουργία ἐστι, χειρῶν ἀτρόμων ὀξεῖα κίνησις, μετ' ἐμ-
πειρίας· ἡ ἔντεχνος πρᾶξις ἐν ἰατρικῇ διὰ χειρῶν,
[illegible] γενομένη τοῦ προσήκοντος τέλους :—
Περικράνιός ἐστιν ὑμὴν νευρώ- τί ἐστι περικράνιος
δης, περιειληφὼς πᾶν τὸ κρανίον :~ τίνες εἰσὶ μήνιγγες
Μήνιγγές εἰσιν αἱ περιέχουσαι τὸν ἐγκέφαλον, σώματα νευ-
ρώδη, καὶ ὑμενώδη :~ τί ἐστιν ἐγκέφαλος
Ἐγκέφαλός ἐστι λευκός, μαλθακός, ὥσπερ ἐξ ἀφροῦ τινος
πεπηγώς, ὑγρός, καὶ θερμός :— τί ἐστι παρεγκεφαλίς
Παρεγκεφαλίς ἐστιν ὄπισθεν τοῦ ἐγκεφάλου τεταγμένη ὁμοι-
οφυὴς ἐγκεφάλῳ, καὶ ὁμόχροος :— τί ἐστι νωτιαῖος μυελός
Νωτιαῖος μυελός ἐστιν, ὁμοφυὴς ἐγκεφάλῳ· λιπαρώτερος
δὲ, καὶ λευκότερος :~ τί εἰσιν ὀφθαλμοί

Ὀφθαλμοί εἰσιν οἱ συνεστῶτες ἐκ τεσσάρων χιτώνων.
νευρώδεις, αἰσθητήριοι τῶν ὑποκειμένων χρωμάτων. καὶ
σχημάτων :~ Τί ἐστιν ὦτα

Ὦτά ἐστι, νευρώδη καὶ χονδρώδη, καὶ αἰσθητικὰ φωνῶν.
καὶ τῶν ἐν αὐτοῖς διαφορᾶς φωνῶν :~ Τί εἰσι ῥῖνες

Ῥῖνές εἰσι νευρώδεις καὶ χονδρώδεις, ἀντιληπτικαὶ ὀσμῶν :~
Γλῶσσά ἐστι, φλεβώδης καὶ σαρκώδης Τί ἐστι γλῶσσα
ὑποπίμελος αἰσθητικὴ χυμῶν. Συνεργὸς τῇ καταπό-
σει τῆς τροφῆς :~ Τί ἐστι φάρυγξ

Φάρυγξ ἐστὶ χονδρώδης, δι᾽ ἧς τὸ πνεῦμα ἀναπνέομεν,
συνεργὸν καὶ πρὸς τὴν φωνήν :~ Τί ἐστι πνεύμων

Πνεύμων ἐστὶν ἀρτηριώδης, ἐκ τῶν λείων καὶ τραχέων ἀρ-
τηριῶν συμφόρησις, ὄργανον ἀναπνευστικόν :~ Τί ἐστι θώραξ

Θώραξ ἐστὶν ἐκ φλεβῶν καὶ ἀρτηριῶν καὶ νεύρων κατεσκευ-
ασμένος ὑπὸ τῆς φύσεως, πρὸς τὸ τῆς ἀναπνοῆς
ὅρμημα :~ Τί ἐστι καρδία

Καρδία ἐστὶ νευρώδης καὶ μυώδης, καὶ φλεβώδης ἔχου-
σα καὶ ἀρτηρίας, κωνοειδὴς τῷ σχήματι, ὑποπίμελος.
ἐξ ἧς ἐκπεφύκασιν ἀρτηρίαι καὶ φλέβες δι᾽ ὧν ἐπι-
πέμπεται αἷμα καὶ πνεῦμα :~ Τί ἐστι διάφραγμα

Διάφραγμά ἐστι νευρῶδες, διεῖργον καὶ χωρίζον, τά τε ἐν
τῷ θώρακι, καὶ τὰ ὑπὸ τὸν θώρακα σπλάγχνα :~ Τί ἐστι ἧπαρ

Ἧπαρ ἐστὶ φλεβῶδες, καὶ θερμόν. καὶ πολύαιμον, καὶ τὴν πρώ-
την ἐξαιμάτωσιν πλείστην ποιούμενον, συνεργοῦν
καὶ τῇ κοιλίᾳ πρὸς τὴν πέψιν. τῷ πλαγίῳ [illegible]-
πον αὐτήν :~ ζη Τί ἐστι σπλήν

Σπλήν ἐστι φλεβώδης καὶ ἀρτηριώδης, λεπτὰ ἀγγεῖα ἔχων,
καὶ πολλὰς μεταξὺ τούτων τῶν ἀγγείων διὰ τοῦτο ἀραιός

καὶ στομάχου :~ τί ἐστι στόμαχος

Στόμαχός ἐστι νευρώδης, καὶ ὄργανον ὀρέξεως, καὶ κατα-
πόσεως· καὶ πόρος ὑγρᾶς καὶ ξηρᾶς τροφῆς :~ κοιλία

Κοιλία ἐστὶ νευρώδης· ὑποδοχεῖον τροφῆς, ὑγρᾶς καὶ
ξηρᾶς· πρὸς τὸ πέττεσθαι τὴν τροφὴν, κατεσκευασ-
μένη :~ τί ἐστι ἔντερα

Ἔντερα ἐστὶ νευρώδη· τὰ μὲν πρὸς ὑποδοχήν· τὰ δὲ πρὸς
ἀπόκρισιν τοῦ περιττώματος γεγονότα :~ τί εἰσι νεφροί

Νεφροί εἰσι σαρκώδεις ἐκκαθαρωτῆρες σφηνός σύγ-
κείμενοι ἰσθμοὶ τοῦ ὑγροῦ περιττώματος· καὶ ὥσπερ
προσλάκκια ὑπὸ τῆς φύσεως γεγενημένοι :~ τί ἐστι κύστις

Κύστις ἐστὶ νευρώδης ὑποδοχεῖον ἅμα καὶ ὄργανον ἐκκρι-
τικὸν ὑγροῦ περιττώματος :~ τί εἰσι δίδυμοι

Δίδυμοί εἰσι σφηνοειδεῖς, καὶ ὀδοντωτοί, ὑγροὶ καὶ θερμοί,
σύνεργοι τῇ πέψει τοῦ ἐν τοῖς παραστάταις σπέρματος :~

Παραστάται εἰσὶν οἱ συνημμένοι, τί εἰσι παραστάται
ἐκ φλεβὸς καὶ ἀρτηρίας εἰς τὸ αὐτὸ συμπεφυκυιῶν
περιεκτικοὶ σπέρματος :~ τί ἐστι μήτρα

Μήτρα ἐστίν, ἔξωθεν μὲν νευρώδης, ἔνδε τὰ ἔνδοθεν
σαρκωδεστέρα· ἀγγεῖον κυητήριον :~ τί ἐστιν ἔκκρισις

Ἔκκρισίς ἐστι φθορὰ τῶν κεκρατημένων τοῖς σώμα-
σι περιττωμάτων :~ τί ἐστι κόπρος

Κόπρος ἐστίν, ἀποκάθαρμα τροφῆς, κατὰ τὴν τελείαν
πέψεως, καὶ ἀναδόσεως διακεκριμένου :~ τί ἐστιν οὖρον

Οὖρόν ἐστι, τὸ περίηθημα τοῦ αἵματος ἐν τῇ μεγάλῃ φλε-
βὶ καταφερόμενον διὰ νεφρῶν καὶ οὐρητήρων ἐν τῇ κύστει :~

Οἱ τέσσαρές εἰσι χυμοὶ ἐξ ὧν τὸ πόσοι χυμοί

ζῶον συνέστηκεν· αἷμα, φλέγμα, χολαὶ δύο ξανθή
τε καὶ μέλαινα· ταῦτα γὰρ στοιχεῖα τοῦ σώματος, παῖδες
ἰατρῶν καλοῦσιν· ἐπεὶ τὸ μὲν αἷμα, θερμόν ἐστι καὶ
ὑγρόν, καὶ γλυκύ· τὸ δὲ φλέγμα, ὑγρὸν καὶ ἀλυκόν, καὶ
γλισχρόν· ἡ δὲ ξανθὴ χολή, θερμὴ καὶ ξηρά, καὶ δρι-
μεῖα, καὶ δακνώδης· ἡ δὲ μέλαινα, ξηρὰ καὶ ψυχρὰ καὶ
ὀξεῖα, καὶ βαρυτάτη :— Τί ἐστι φλέγμα
Φλέγμα ἐστὶν ὑγρὸν καὶ ψυχρόν, πρὸς τὴν κατάποσιν τῶν
σιτίων, καὶ πρὸς τὰς κινήσεις τῶν ἄρθρων ὑπὸ τῆς φύ-
σεως ἀποβεβλημένον :— Τί ἐστι χολὴ ξανθή
Χολὴ ξανθή ἐστι θερμὴ καὶ ξηρά· καὶ ἐπιτήδειον μὲν τοῦ
σώματος καὶ πρὸς τὰς ἐκκρίσεις τῆς κοιλίας γεγενη-
μένη :— Τί ἐστι χολὴ μέλαινα
Χολὴ μέλαινά ἐστι, ψυχροτέρα τῆς ξανθῆς· πεπαχυμένη
μὲν καὶ ἐν τῷ αἵματι, ὥστε σφίξεσθαι, καὶ μὴ παχύ· καὶ
ἄβαιον καὶ δυσανάδοτον ἀποτελεῖσθαι :— Τί ἐστι μύξα
Μύξα ἐστὶν ἀποκάθαρμα τοῦ ἐγκεφάλου, ὥστε κουφίζε-
σθαι τὸ ἡγούμενον τῆς ψυχῆς μέρος :— Τί ἐστιν ἱδρώς
Ἱδρώς ἐστι περίττωμα τῆς ἐν τῷ αἵματι λεπτῆς καὶ ὀρρώ-
δους ὑγρασίας :— Τί ἐστι φλέψ
Φλέψ ἐστὶν ἀγγεῖον αἵματος, καὶ τοῦ συμμεμιγμένου τῷ
αἵματι, φυσικοῦ πνεύματος νευρώδης ὑγρὰν καὶ θερ-
μὴν ἀναθυμίασιν ἔχουσα :— Τί ἐστι ἀρτηρία
Ἀρτηρία ἐστὶν ἀγγεῖον αἵματος ἐλάττονος καὶ καθαρωτέρου, καὶ
τοῦ συμμεμιγμένου φυσικοῦ πνεύματος πλείονος καὶ
λεπτομερεστέρου· θερμοτέρα καὶ ξηροτέρα, καὶ ἀπαυτικω-
τέρα τῆς φλεβὸς σφυγματώδης κινουμένη :—

Τὰ μὲν γὰρ ἐξ ἐγκεφά- ὅτι τῶν νεύρων ἐστὶ διαφοραί
λου καὶ νωτιαίου πεφυκότα νεῦρα ταῦτα κυρίως προσαγο-
ρεύεται. τὰ δὲ ἐκ μυῶν, τένοντες. τὰ ἐξ ὀστῶν, σύνδεσμοι :-
Νεῦρα τὰ ἀπ' ἐγκεφά- τίνα ἐστὶ ἐξ ἐγκεφάλου νεῦρα
λου, καὶ μηνίγγων πεφυκότα, νεῦρα ταῦτα κυρίως προσαγο-
ρεύεται. κοινά, ξηρότερα, καὶ ἧττον θερμότερα. φλεβῶν τε καὶ
ἀρτηριῶν, μαλακώτερα, τὰς προαιρετικὰς κινήσεις ἐπιτελοῦντα :-
Νεῦρα τὰ ἐξ ὀστῶν ἐκφυ- τίνα ἐστὶ τὰ ἐξ ὀστῶν νεῦρα
όμενα, συνδετικά, καὶ συνεκτικὰ τῶν ἄρθρων καὶ τῶν μελῶν
τοῦ σώματος, ἅτινά εἰσι μύες. σώματα νευρώδη, ἀναμεμιγ-
μένης αὐτοῖς καὶ σαρκός, πρὸς κίνησιν τῶν σώματος μελῶν
γεγονότες :- τίνες εἰσὶ περιόστεοι ὑμένες
Περιόστεοι ὑμένες εἰσίν, ἐλύμματα λεπτά, ἰνώδη ὥσπερ ἐν-
δύματα τῶν ὀστῶν ὑπὸ τῆς φύσεως γενόμενοι :- τί ἐστι πιμελή
Πιμελή ἐστι πῆγμα τροφῆς περὶ τοὺς ὑμένας μάλιστα πηγ-
νύμενον, ἀναίσθητος :- τί ἐστι σάρξ
Σάρξ ἐστιν ἐξ αἵματος πεπηγυῖα, ὑγρᾶς καὶ θερμῆς, καὶ τὴν
μαλακότητα περιεχομένη, τοῦ σώματος :- τί ἐστιν ὁ ἐν τοῖς ὀστέοις μυελός
Ὁ ἐν τοῖς ὀστέοις μυελός ἐστι περιεχόμενος ταῖς κοιλότησι τῶν
ὀστῶν λιπαρὸς καὶ ἀναίσθητος :- τί εἰσι χόνδροι
Χόνδροι εἰσὶ σώματα γεωδέστερα, καὶ ἀναίσθητα :- τί ἐστιν ὀστᾶ
Ὀστᾶ εἰσὶ σώματα ξηρὰ καὶ γεώδη καὶ ψυχρὰ καὶ ἀναίσθητα :-
Ὀδόντες εἰσὶν οἱ διαιροῦντες τὴν τί εἰσιν ὀδόντες
τροφήν, καὶ κατεργαζόμενοι συνεργοῦντές τι καὶ πρὸς
τὴν ~~[illegible]~~ φωνῆς διάρθρωσιν :- τί εἰσιν ὄνυχες
Ὄνυχές εἰσιν ἀποτελεύτησις νεύρων, δι' εὐπρεπείας χάριν
γεγονότες. καὶ ὡς ἐπιλαμβάνειν τι τοῖς δακτύλοις ὁπόταν-
[illegible]. οἱ δέ, οὕτως. ὄνυχές εἰσι δέρματος ἐκφύσεις ξηρὰ καὶ

ψυχρὰ καὶ ἀναίσθητος :— Τί ἐστι θρίξ
Θρίξ ἐστὶ σῶμα ξηρὸν καὶ ψυχρὸν, καὶ ἀναίσθητον, πρὸς
σκέπην καὶ κόσμον γεγενημένη :— Τί ἐστι δέρμα
Δέρμα ἐστὶ σῶμα νευρῶδες σκεπάζον ὅλην τὴν περιο-
χὴν τοῦ σώματος, εὐπρεπείας χάριν :— Τί ἐστι σπέρμα
Σπέρμα ἐστὶ, συνεσπειραμένη δύναμις ἐν ὑγρῷ περιέχουσα
τούτου τὸν λόγον καὶ τῆς δυνάμεως τυγχάνουσα τῶν προση-
κόντων λόγων, καὶ ὕλην, ἐξαπλοῦται εἰς γένεσιν ἀνθρώ-
που. ἢ οὕτως ἑτέρως. σπέρμα ἐστὶν ὑγρὸν, ἐν παραστάταις
περιεχόμενον ἐνθέρμου πνεύματος, ἐξ οὗ οἷόν τε φῦναι
ἄνθρωπον. ἄλλος ὅρος. σπέρμα ἐστὶ πνεῦμα ἔνθερμον
ἐν ὑγρῷ ἐξ αὐτοῦ κινούμενον, καὶ δυνάμενον τοιοῦτον
γεννᾶν, οἷον ἀφ᾽ οὗ καὶ ἀπεκρίθη. ἑτέρως. ὁ δὲ Κιτιεὺς
Ζήνων, οὕτως ὡρίσατο. σπέρμα ἐστὶν ἀνθρώπου, ὃ με-
θίησιν ἄνθρωπος, μεθ᾽ ὑγροῦ συμμιγὲς ψυχῆς μέρους ἀπόσπα-
σμα καὶ σύμμιγμα τοῦ τῶν προγόνων γένους. οἷόν τε αὐτὸ
ἦν. καὶ αὐτὸ συμμιχθὲν ἀπεκρίθη :— Τί ἐστι φύσις
Φύσις ἐστὶ πῦρ τεχνικὸν, ὁδῷ βαδίζον εἰς γένεσιν. ἑτέρως
κατὰ Πλάτωνα. φύσις ἐστὶν, οἷα τεχνικὴ δύναμις. ἑτέρως
φύσις ἐστὶ πνεῦμα ἔνθερμον, ἐξ ἑαυτοῦ κινούμενον,
καὶ κατὰ τὰς σπερματικὰς δυνάμεις. γεννᾶν τε καὶ τελειοῦν,
καὶ διατηροῦν τὸν ἄνθρωπον. ἢ οὕτως. φύσις ἐστὶ δύνα-
μις ἐξ ἑαυτῆς κινουμένη, αἰτία γενέσεώς τε καὶ διαπλά-
σεως γενήσοιτε καὶ διαφυλάττειν τὸν ἄνθρωπον. δύ-
ναται δὲ καὶ οὕτως ὁρίσασθαι. φύσις ἐστὶ πνεῦμα ἔνθερμον
ἐξ ἑαυτοῦ κινούμενον κατὰ σπερματικοὺς λόγους. γεννᾶν
τε καὶ τελειοῦν, καὶ διατηροῦν τὸν ἄνθρωπον. ἐν χρόνοις
καὶ μεγέθεσιν ὡρισμένοις :— Τί ἐστιν ἕξις

Ὄρεξις ἐστὶ πνεῦμα ζῶν ἔχον καὶ κρατοῦν μόρια. — τί ἐστι ὄρεξις.
Ὄρεξις ἐστὶ πάθος καὶ ἐπιζήτησις. — τί ἐστι κατάποσις.
Κατάποσίς ἐστιν ὁλκὴ στερεοῦ καὶ ὑγροῦ ἀπὸ στομάχου εἰς κοιλίαν γιγνομένη. ἢ οὕτως, κατάποσίς ἐστιν εἰς φορὰ τροφῆς ὑγρᾶς καὶ στερεᾶς ἐκ στόματος διὰ στομάχου εἰς κοιλίαν γιγνομένη. — τί ἐστι πέψις
Πέψις ἐστὶ μίξις καὶ χύλωσις, ὥσπερ ἕψησις τροφῆς ἐν κοιλίᾳ καὶ ἐν ἐντέροις κατὰ μεταβολὴν εἰς ἀνάδοσιν τελειουμένη. ἑτέρως. πέψις ἐστὶ κατεργασία τροφῆς κατὰ μεταβολὴν ἐν κοιλίᾳ καὶ ἐν ἐντέροις. ἢ οὕτως. ἀλλοίωσις ἑτοίμη πρὸς ἐξαιμάτωσιν, ἥτις γίνεται ὑπὸ τῆς φύσεως διὰ θερμασίας ἐμφύτου παραπλησίως:— +

πῶς Ἱπποκράτης καὶ Ἐρασίστρατος καὶ Ἐμπεδοκλῆς καὶ Ἀσκληπιάδης, τὰς πέψεις τῆς τροφῆς φασὶ γίνεσθαι.
Τὰς πέψεις τῆς τροφῆς Ἱπποκράτης μὲν ὑπὸ τοῦ ἐμφύτου θερμοῦ φησὶ γίνεσθαι. Ἐρασίστρατος δὲ τρίψει, καὶ λειώσει, καὶ περιστολῇ τῆς γαστρὸς, καὶ ἐπικτήτου πνεύματος ἰδιότητι. Ἐμπεδοκλῆς δὲ σήψει. οἱ δὲ ἐξ ὠμῶν χυμῶν ἔφασαν τὰς ἀναδόσεις γίνεσθαι, ὥσπερ καὶ Ἀσκληπιάδης ὁ Βιθυνός. ὁ αὐτὸς τὴν γυμνασίαν τῶν ~~πεψε~~ πέψεων ἀναθύμασιν ἀπεφήνατο εἶναι τὴν τῆξιν:— +
Ἐξαιμάτωσίς ἐστιν ἡ εἰς αἷμα τῆς τροφῆς μεταβολή:— τί ἐστιν ἐξαιμάτωσις
τί ἐστιν ἀνάδοσις
Ἀνάδοσίς ἐστιν ὁλκὴ τῆς πεφθείσης, καὶ οἰκονομηθείσης, καὶ ἐξαιματωθείσης τροφῆς, εἰς πάντα τοῦ σώματος μόρια, καὶ τὰ μέρη, ὑπὸ τοῦ ἐμφύτου θερμοῦ. οἱ δὲ οὕτως. ἀνάδοσίς ἐστιν ὁλκὴ τῆς πεφθείσης τροφῆς, ὑπὸ τοῦ κατὰ φύσιν θερμοῦ εἰς ὅλον τὸ σῶμα. μετὰ τῆς οἰκείας

ι μεταβολῆς, καὶ κατεργασίας :— τί ἐστιν αὔξησις
Αὔξησίς ἐστιν, ἡ εἰς μῆκος καὶ πλάτος, καὶ βάθος πρόβασις
Θ τῶν σωμάτων :— τί ἐστι θρέψις
ρέψις ἐστιν, ἡ εἰς τὴν περιοχὴν καὶ τὸ πλάτος γιγνομένη πρό-
σθεσις τοῖς σώμασι :— πόσαι ἡλικίαι
Τ έσσαρές εἰσι ἡλικίαι· πρώτη μὲν ἡ τῶν νέων· δευτέρα
δὲ ἡ τῶν ἀκμαζόντων· καὶ τρίτη, ἡ τῶν μέσων, καὶ τετάρτη,
ἡ τῶν γερόντων :— ὁποῖοι τὴν κρᾶσιν οἱ νέοι
Οἱ νέοι εἰσὶ θερμοὶ τὴν κρᾶσιν καὶ ὑγροί, καὶ τῷ ἔαρι παραπλήσιοι :—
Οἱ δὲ ἀκμάζοντες, θερμοὶ ὁποῖοι τὴν κρᾶσιν οἱ ἀκμάζοντες
καὶ ξηροί, καὶ τὴν αὐτὴν κρᾶσιν τῷ θέρει κεκτημένοι :—
Ο ἱ μέσοι ψυχροὶ καὶ ὁποῖοι τὴν κρᾶσιν εἰσὶν οἱ μέσοι
ξηροί, ὅμοιοι τῷ φθινοπώρῳ :— ὁποῖοι τὴν κρᾶσιν οἱ γέροντες·
Οἱ δὲ γέροντες, ψυχροὶ καὶ ὑγροί, καὶ τῷ χειμῶνι παραπλήσιοι :—
Π λεονάζει δὲ τοῖς νέοις ὁποῖος πλεονάζει τοῖς νέοις χυμός
μὲν τὸ αἷμα· τοῖς δὲ ἀκμάζουσιν ἡ ξανθὴ χολή, τοῖς δὲ
μέσοις ἡ μέλαινα· τοῖς δὲ γέρουσι τὸ φλέγμα· ὅτι τὸ ἔμ-
φυτον θερμόν, πολὺ μὲν ἐν τοῖς νέοις, ἀκμάζον δὲ ἐν τοῖς
ἀκμάζουσι· μέσον δὲ ἐν τοῖς μέσοις· ὀλίγιστον δέ, ἐν τοῖς
γέρουσι :— τί ἐστι νεότης
Ν εότης ἐστί, καθ᾽ ἣν αὔξεται τὸ ζῶον· ἐπίδοσιν λαμ-
βάνοντος ἐν αὐτῷ τοῦ θερμοῦ καὶ τοῦ ὑγροῦ· καὶ ἴσων ὄν-
των τῶν ἀπορρεομένων τοῖς προσφερομένοις, καὶ πλέονος
ὄντος τοῦ προσγιγνομένου, ἢ τοῦ ἀπογιγνομένου :—
Α κμὴ ἡλικίας ἐστί, τί ἐστιν ἀκμὴ ἡλικίας
καθ᾽ ἣν ηὔξηται, καὶ τετελείωται τὸ ζῶον, τελείων ἐν αὐτῷ
τοῦ θερμοῦ καὶ τοῦ ὑγροῦ, καὶ ἴσων ὄντων, τῶν ἀπορρεομένων

τοῖς προσφερομένοις:~ τί ἐστι γῆρας,

Γῆρας ἐστὶ ψῦξις, καθ' ἣν ὑπομαραίνεται, καὶ ἀπολήγει τὸ ζῶον· ἐλαττόνων μὲν ἐναντίως γινομένων τοῦ θερμοῦ καὶ τοῦ ὑγροῦ· πλεόνων δὲ ἐναντίως γινομένων τοῦ ψυχροῦ καὶ τοῦ ξηροῦ:~ τί ἐστιν ἀναπνοή

Ἀναπνοή ἐστι κίνησις θώρακος, καὶ πνεύμονος· μέρη δὲ αὐτῆς, εἰσπνοή, καὶ ἐκπνοή· ἢ οὕτως· ἀναπνοή ἐστιν ὁλκὴ ἀέρος διὰ στόματος, καὶ μυξωτήρων ἐξ ἐγκεφάλου διὰ φάρυγγος καὶ πνεύμονος εἰς καρδίαν· καὶ ἔστι δὲ τοι καὶ εἰς τὴν κοιλίαν· καὶ ἐκ τοῦ ληφθέντος πάλιν ὀλίγη τις ἀνταπόδοσις εἰς τὸ περιέχον γίνεται:~ τί ἐστι διαπνοή

Διαπνοή ἐστιν ὁλκὴ ἀέρος ἀπροαίρετος ὑπὸ τοῦ φυσικοῦ θερμοῦ διὰ τῆς ἐπιφανείας ἅμα τοῖς ὑπεκκρινομένοις γινομένη· ἑτέρως· διαπνοή ἐστι ἐκ τοῦ σώματος ὁλκὴ ἀέρος μετ' ὀρέξεως φυσικῆς δι' ὅλου τοῦ σώματος, καὶ πάλιν ἐξόδων ἀπόκρισις:~

Σφυγμός ἐστι διαστολὴ καὶ συστολὴ τί ἐστι σφυγμός καρδίας, καὶ ἀρτηριῶν φυσική· μέρη δὲ τοῦ σφυγμοῦ, διαστολὴ καὶ συστολή· ἢ οὕτως· σφυγμός ἐστι κίνησις καὶ διαστολὴ καὶ συστολὴ καρδίας, καὶ ἀρτηριῶν, καὶ ἐγκεφάλου, καὶ μήνιγγος φυσικὴ καὶ ἀπροαίρετος· ἑτέρως· δύναται δὲ καὶ οὕτως ὁρίσασθαι· σφυγμός ἐστι κίνησις φυσική, καὶ ἀπροαίρετος, τοῦ ἐν καρδίᾳ καὶ ἀρτηρίαις θερμοῦ:~ τί ἐστιν ἡγεμονικὸν ψυχῆς

Ἡγεμονικόν ψυχῆς ἐστι, τὸ ἄρχον τῶν μερῶν τῆς ψυχῆς· τὸ βασιλεῦον, καὶ ἐπιτάσσον, καθιδρυμένον ἐν τῇ βάσει τοῦ ἐγκεφάλου· οἱ δὲ οὕτως· ὑπηρετικόν μέρος τῆς ψυχῆς, τὸ ὑποτεταγμένον, καὶ ὑπηρετοῦν, τῷ ἡγεμονικῷ· τεταγμένον δὲ τῷ ἄλλῳ σώματι:~ τί ἐστι αἴσθησις

Αἴσθησις ἐστί, πάθος ψυχῆς, διὰ σώματος ἀγγελτικὸν τοῦ κινητικοῦ:~

Τί ἡ αἴσθησις· καὶ αἰσθητήριον καὶ αἰσθητὸν καὶ αἰσθητικόν

Αἴσθησις μὲν γάρ ἐστιν, ἡ ἐνοβγοῦσα τὰ διάφορα· δύναμις. αἰσθητήριον δέ, τὸ αἴσθησιν τινὰ ἐμπεπιστευμένον ὄργανον. αἰσθητὸν δέ, τὸ τῇ αἰσθήσει ὑποπίπτον. αἰσθητικὸν δὲ αὐτὸ τὸ αἰσθανόμενον. οἷον, αἴσθησις μέν, ὅρασις. γεῦσις. ὄσφρησις. καὶ αἱ λοιπαὶ αἰσθήσεις. αἰσθητήριον δέ, οἷον ὀφθαλμός, ἢ ῥίς, ἢ γλῶττα. ἃ καὶ ὄργανα αἰσθητικὰ προσαγορεύεται. αἰσθητὸν δὲ τὸ ξύλον. ἢ λίθος. ἢ τοῖχος. ἢ κίων, καὶ πάντα τὰ ὑποπίπτοντα ἐν ταῖς αἰσθήσεσιν. αἰσθητικὸν δέ, ὁ θεῶν, καὶ ὁ ἰδών, καὶ τἄλλα δὲ ὅσα αἰσθάνεται ζῶα :—

πόσαι αἰσθήσεις

Αἰσθήσεις εἰσὶ πέντε. ὅρασις. ἀκοή. γεῦσις. ὄσφρησις. ἁφή. διακονοῦνται δέ, αὗται καὶ ὑπηρετοῦνται τῇ ψυχῇ, ὥσπερ καὶ ἀσκληπιάδης ὁ βιθυνὸς φησί. τὴν οὖν γύμνασίαν τῶν πέντε αἰσθήσεων, τὴν ψυχὴν εἶναι :—

τί ἐστιν ὅρασις

Ὅρασίς ἐστιν ἡ γενομένη διὰ τῶν ὀφθαλμῶν τοῦ συγκεκραμένου ἐν αὐτοῖς πνεύματι λεπτοῦ μάλιστα καὶ τὸν τῆς κόρης τόπον τυγχάνοντι, δι' οὗ αἱ ὁρατικαὶ ἀντιλήψεις γίγνονται :—

τί ἐστιν ἀκοή

Ἀκοή ἐστιν ἡ γενομένη διὰ τοῦ ἐγκεφάλου τοῖς ὠσὶ πνεύματος ξηροτέρου μᾶλλον ὄντος, ἤπερ λεπτομερεστέρου, δι' οὗ αἱ ἀκουστικαὶ ἀντιλήψεις γίγνονται :—

τί ἐστιν ὄσφρησις

Ὄσφρησίς ἐστιν, ἡ ἀποτελουμένη, διὰ τοῦ ἐν ταῖς ῥισὶ πνεύματος ὄντος ἐν ἰκμοῦ καὶ αὐχμωδεστέρου. δι' οὗ αἱ τῶν ὀσφράντων ἀντιλήψεις γίγνονται :—

τί ἐστι γεῦσις

Γεῦσίς ἐστιν ἡ γενομένη τοῦ ἐν τῇ γλώττῃ πνεύματι ὄντι ὑγροτέρῳ μᾶλλον :—

τί ἐστιν ἁφή

Ἁφή ἐστιν ἡ ἀποτελουμένη διὰ τοῦ ἐληλυθότος διὰ τοῦ σώματος.

δι' ὃ αἱ πνευματικαὶ ἀκίνητοι γίγνονται:– τί ἐστι μεταβατικὴ κίνησις·
Μεταβατική κίνησίς ἐστι, τῶν ὅλων καθ' ὁρμὴν
γιγνομένη, κατάρχοντος μὲν τοῦ ἡγεμονικοῦ· ὑπηρετοῦντος
δὲ τοῦ ἐν τοῖς νεύροις πνεύματος, συνεντεινομένου, καὶ πα-
ραφέροντος τὰ μέλη:– τί ἐστι φωνή
Φωνή ἐστιν, ἡ γιγνομένη καθ' ὁρμὴν τοῦ ἡγεμονικοῦ ἐντει-
νομένου συνεντείνοντος τὸ πνεῦμα, τὸ διὰ φάρυγγος, μέχρι
τοῦ πνεύμονος, καὶ τῆς γλώττης, τούτων ~~διὰ~~ διὰ τὸ πλῆττον,
τὸν πλησιάζοντα ἀέρα:– τί ἐστι μνήμη·
Μνήμη ἐστι, κατοχὴ καὶ συντήρησις, τῶν προκεκριμένων ἐν τῇ
ψυχῇ· οἱ δὲ οὕτως· μνήμη ἐστὶ, κατάληψις προεληλυθό-
τος, οὗ τὸ πρὶν ἐξ αἰσθήσεως κατελαμβάνετο:– τί ἐστιν ἀνά-
Ἀνάμνησίς ἐστι, πλάνος ἐντεινομένου μεταξὺ   μνησις
χρόνου πρὸς ἄλλοις γενομένης τῆς διανοίας πάλιν, ὥστε
ἀναμιμνήσκε~~σ~~σθαι τὰ προκεκινηκότα τὴν ψυχήν:–
Ἐπίνοιά ἐστιν ἄνεσις ψυχῆς   τί ἐστι ἐπίνοια καὶ νόησις
ὑ κατὰ φύσιν, ἀπὸ τῶν πόρων, ἐπὶ τὸ ἡγεμονικόν:~
Ὕπνος ἐστὶ ψυχῆς καταφορὰ κατὰ   τί ἐστιν ὕπνος
φύσιν ἀπὸ τῶν πόρων ἐπὶ τὴν ἀρχήν:– τί ἐστιν ἐγρήγορσις
Ἐγρήγορσίς ἐστιν ἔντασις ψυχῆς ἀπὸ τῆς ἀρχῆς, εἰς πάντα τὰ
μέρη, καὶ τὰ ~~κατα~~ πόρια τοῦ σώματος:– τί ἐστιν ὑγίεια
Ὑγίειά ἐστι τῶν πρώτων κατὰ φύσιν, ἡ ~~συμμετρία~~ τῶν ἐν ἡμῖν   εὐκρασία
χυμῶν, ἡ τῶν φυσικῶν δυνάμεων ἀπαραπόδιστος ἐνερ-
γεία· ἡ ὑγίειά ἐστιν εὐκρασία τῶν τεσσάρων στοιχείων· τὸ
γὰρ ζῶον συνέστηκεν, ἐκ θερμοῦ, καὶ ψυχροῦ, ὑγροῦ, καὶ ξη-
ροῦ· οἱ δὲ οὕτως· ὁμόνοια τῶν συνεστώτων τὸν ἄνθρωπον θερ-
μῶν τε καὶ ψυχρῶν, ὑγρῶν τε καὶ ξηρῶν:– τίνα πρέπεται τῇ ὑγιείᾳ

Παρέπονται τῇ ὑγείᾳ, κάλλος, εὐεξία, ἀρτιότης. κάλλος μὲν ὁπόσον κομμωτικὰς δι' ἐπιχρισμάτων προσώπου, καὶ βαφῆς τριχῶν, καὶ τῶν τοιούτων ἐοικότων, περιγινόμενον. εὐεξία δέ, οὐχὶ ἀπὸ γυμναστικῆς, ἀλλ' ἡ καὶ ἐπακολουθοῦσα τῆς ὑγείας συνισταμένη. ἀρτιότης δέ, ἡ τῶν μελῶν ἀπηρτισμένων ῥῶσις, καὶ συμμετρία :— τίνα τῷ κάλλει παρέπεται

Εὔχροια καὶ μελῶν ἀναλογία τε καὶ εὐρυθμία. ὅτι οὖν τὸ κάλλος. ἐστὶ γὰρ κάλλος ἀναλογία μελῶν μετ' εὐχροίας :—

Ὑγεία εὐεξίας τούτῳ δια- τίνι διαφέρει ὑγεία εὐεξίας.
φέρει. ὑγεία μὲν γάρ ἐστιν εὐεξία σύμμετρος. ἡ δὲ εὐεξία, ὑγεία ἐπιτεταμένη. ἡ δὲ ἐπὶ τῶν γυμναστικῶν εὐεξία οὐδὲ ὑγεία ἂν εἴη :— τίνες ἀρεταὶ σώματος

Ἀρεταὶ σώματος μέν, ὑγεία, ῥώμη, κάλλος, ἀρτιότης :—

Ψυχῆς δὲ ἀρεταί, φρόνησις, σω- τίνες ἀρεταὶ ψυχῆς
φροσύνη, ἀνδρεία, δικαιοσύνη :— περὶ ἀναλογίας
τῶν σώματος ἀρετῶν, πρὸς τὰς τῆς ψυχῆς.

Ἀναλογεῖ δὲ ὑγεία μὲν πρὸς σωφροσύνην. ἡ μὲν γὰρ ὑγεία εὐκρασία τῶν πρώτων καὶ στάσις ἐστίν. ἡ δὲ σωφροσύνη, τὸ καθαρεύειν παντὸς πάθους τὴν ψυχήν, ἡδονῆς, φόβου, λύπης, ἐπιθυμίας. διὰ τὴν αἰτίαν τὰς ὁρμὰς τῆς ψυχῆς ἀκαταράκτους παρέχεται. καὶ στάσις αὐτῆς ψυχῆς ἐστὶ καὶ ὑγεία. πάλιν ἀναλογεῖ ῥώμη σώματος, πρὸς ἀνδρείαν ψυχῆς. ἡ μὲν γὰρ ῥώμη, εὐτονία ἐστὶ σώματος καὶ ἰσχὺς ἀκαταγώνιστος τοῖς νομίζουσι τὸ σῶμα φέρειν. ἡ δὲ ἀνδρεία ῥώμη ψυχῆς καὶ ἰσχὺς πρὸς τὰς ὑπομονὰς τῶν ἰσχυρῶν φαντασιῶν. θανάτου. πόνου. ταλαιπωρίας. καὶ καθόλου παντὸς τοῦ δοκοῦντος εἶναι δεινοῦ τε καὶ φοβεροῦ. προσέοικε δὲ τῷ κάλλει

πάλιν ἡ δικαιοσύνη. τὸ μὲν γὰρ κάλλος, ἐν συμμετρίᾳ μελῶν,
μετ᾽ εὐχροίας νοεῖται. ἡ δὲ δικαιοσύνη ἐν συμμετρίᾳ τοῦ ἐπι-
βάλλοντος ἑκάστῳ. ἀπονεμητικὴ γάρ ἐστιν ἑκάστῳ τοῦ πρὸς
ἀξίαν. οἷον θεοῖς. γονεῦσι. συγγενέσι. φίλοις. οἰκείοις. πο-
λίταις. τῇ δὲ φρονήσει ἡ ὑγιότης. ἡ μὲν γὰρ ὑγιότης συμ- φρόνησις
πλήρωσίς ἐστι, τῶν τῆς ψυχῆς (?) ὀρθῶν καταλήψεων, ὥσπερ
καὶ τῶν μελῶν. οὕτω δὲ καὶ ἡ φρόνησις :— Τί ἐστι κατὰ
φύσιν, καὶ τί παρὰ φύσιν, καὶ τί φύσει ἐστὶ, καὶ τί οὐ φύσει.

Κατὰ φύσιν μὲν οὖν ἐστιν ἡ ὑγεία. παρὰ φύσιν δὲ ἡ νόσος. φύσει
δὲ ὁ παχύς. ὁ μελανώδης (?). ὁ γρυπός. οὗτοι γὰρ κατὰ φύσιν μὲν
οὐ διάκεινται. παραβεβήκασι γὰρ τὴν συμμετρίαν, ἀλλ᾽ οὐ δὲ
παρὰ φύσιν πάλιν, οὐ γὰρ ἐμποδίζονται εἰς τὰς ἐνεργείας.
τὸ δὲ οὐ φύσει, τοιοῦτόν ἐστιν, ὃ μήτε κατὰ φύσιν μήτε παρὰ
φύσιν, μήτε φύσει ἐστίν. ὥσπερ οἱ τὰς λεύκας ἔχοντες καὶ τὰς
ἀκροχορδόνας, καὶ μυρμηκίας, καὶ τὰ ὅμοια. ταῦτα γὰρ, οὔτε
κατὰ φύσιν ἐστὶν, ἔξω γὰρ ἐστὶ τοῦ κατὰ φύσιν, οὔτε παρὰ φύ-
σιν. οὐ γὰρ ἐνεργείας εἰσὶ βλαπτικά. ἀλλ᾽ οὐ δὲ φύσει. οὐ γὰρ
ἐξ ἀρχῆς γέγονεν, οὐ δὲ ἐκ πρώτης γενέσεως. λείπεται ἄρα
οὐ φύσει εἶναι. ἐγγίζει δὲ τῷ λόγῳ τῷ κατὰ φύσιν τὸ φύσει.
καὶ τῷ παρὰ φύσιν, τὸ οὐ φύσει :— Ὅτι τῶν ἐν ἡμῖν μορίων
τὰ μὲν πρὸς τὸ ζῆν. τὰ δὲ πρὸς τὸ εὖ ζῆν γέγονε.

Τὰ μὲν οὖν πρὸς τὸ ζῆν γεγονότα, κύρια τυγχάνει, οἷον ἐγκέ-
φαλος, καὶ καρδία καὶ πνεύμων, καὶ ἧπαρ. καὶ γαστήρ. ὧν πα-
θόντων ἐξ ἀνάγκης ἤτοι παραυτίκα, ἢ ὕστερον τὸ ζῶον τε-
λευτᾷ. τὰ δὲ πρὸς τὸ εὖ ζῆν, ὀφθαλμοί. πόδες. χεῖρες.
καὶ τὰ ἄλλα μόρια. τούτων γὰρ παθόντων ζῇ μὲν τὸ ζῶον.
ζῇ δὲ οὐ καλῶς :— Τί ἐστι νόσος.

Νόσος ἐστὶ δυσκρασία τῶν πρώτων κατὰ φύσιν. ἡ δυσκρασία

τῶν ἐν ἡμῖν χυμῶν, ἢ τῶν φυσικῶν δυνάμεων παραποδισ-
μός. ἢ τροπὴ σώματος, ἐκ τοῦ κατὰ φύσιν, εἰς τὸ παρὰ φύσιν.
ἢ νόσος ἐστὶ δυσκρασία τῶν πρώτων, καθ' ἣν ἐπικρατεῖ
τὸ ξηρὸν, ἢ τὸ ψυχρόν· ἢ τὸ θερμὸν, ἢ τὸ ὑγρόν :—

περὶ νοσωδεστάτων κατασκευῶν καὶ ἀρίστων

Αἱ νοσωδέσταται κατασκευαὶ τῶν σωμάτων, ἐξ ἐναντίων τῇ
κράσει συγκεῖνται μορίων. ὥσπερ καὶ ἄρισται κατασκευαὶ
τῶν σωμάτων συνεστήκασιν ἐκ συμμετρίας τῶν ὀργανικῶν.
ἐξ εὐκρασίας ἢ τῶν ὁμοιομερῶν :— τί ἐστι πάθος

Πάθος ἐστὶ παραποδισμὸς κατὰ φύσιν ἐνεργείας τινός, ἢ τινῶν.
οἱ δὲ Ἡροφίλειοι, οὕτως· πάθος ἐστὶ τὸ μὴ διὰ παντὸς ἐν
τῷ αὐτῷ χρόνῳ λυόμενον. καὶ ἐν ἐλάττονι δέ, ὁ ποτὲ καὶ
ἐν πλείονι :— τί ἐστι νόσημα.

Νόσημά ἐστιν, ἕξις νοσώδης ὅλου τοῦ σώματος, ἢ μέρους :—

Τῶν νοσημάτων, τὰ μέν ἐστι διαίρεσις νοσημάτων.
συνεχῆ. τὰ δὲ διαλείποντα. τὰ δὲ ὀξέα. τὰ δὲ χρόνια. τὰ ἢ
καὶ ὀξέα :— ὅσων τίνα διαλείποντά ἐστι νοσημάτων

Διαλείποντα μέν ἐστι ταῦτα. τριταῖος. ἀμφημερινός. τετρ-
ταῖος. πεμπταῖος. καὶ τὰ τούτου ὅμοια :— τίνα ἐστὶ συνεχῆ

Συνεχῆ ἐστιν, ὁ ἡμιτριταῖος. καὶ ὁ τυφώδης οὕτω καλού-
μενος πυρετός καὶ ὁ καῦσος :— τίνα ὀξέα

Ὀξέα ἢ φρενῖτις. λήθαργος. πλευρῖτις. περιπνευμονία :—

Χρόνια ἢ, ἐπίληψις. ἀρθρῖτις. νεφρῖτις :— τίνα χρόνια.

Καὶ ὀξέα νοσήματα, συνάγχη. καὶ τίνα καὶ ὀξέα
κυνάγχη. ἀποπληξία. χολέρα. καὶ τὰ τούτοις ὅμοια :—

Ἑτέρα διαίρεσις τῶν νοσημάτων, καθ' ἑτέραν ἐπιβολήν ἑτέραν

Τῶν νοσημάτων, τὰ μέν ἐστιν ὀξέα καὶ συνεχῆ. ὡς οἱ καῦσοι
καὶ φρενίτιδες. καὶ πλευρίτιδες. καὶ τὰ ὀξέα ταῦτα καὶ συνεχῆ

τυγχάνει. τὰ γ', οὔτε ὀξέα οὔτε συνεχῆ, ὡς τὰ χρόνια νο-
σήματα :— πόσοι καιροὶ τῶν πυρετῶν

Τῶν πυρετῶν, τέσσαρές εἰσι καιροὶ, οὓς καὶ χρόνους προ-
σαγορεύομεν· εἰσβολή· αὔξησις· ἀκμή· παρακμή :—

Τῶν νοσημάτων — πόσαι νοσημάτων διαφοραὶ καθ' Ἱπποκράτην
διαφορὰς Ἱπποκράτης οἶδεν, ἐννέα· ὀξύ· κάτοξυ· κακό-
ηθες· χρόνιον· μέσον· ὀλέθριον· περιεστηκός· κινδυνῶ-
δες· ἀκίνδυνον :— τί ἐστιν ὀξὺ πάθος

Ὀξὺ πάθος ἐστὶ, τὸ δυνάμει καὶ φαντασίᾳ μεῖζον καὶ χαλεπώ-
τερον τοῦ ὀξέος τοῦ πίπαν κρινόμενον, ἐν ἡμέραις
ἑπτά. τοῦτο καὶ ὀξύτατον προσαγορεύειν εἰώθεν :—

Κακόηθες νόσημά ἐστι, τὸ δυνάμει — τί ἐστι κακόηθες.
μὲν μέγα καὶ χαλεπόν· φαντασίᾳ δὲ ἀσθενές· οὐκ ἔχον
χρείως χρόνους ὡρισμένους :— τί ἐστι χρόνιον νόσημα.

Χρόνιον νόσημά ἐστι, τὸ μεταβάλλον ἐπὶ τὸ χεῖρον καὶ ἐπὶ
τὸ κρεῖττον κρινόμενον ἐν μησὶ καὶ ἐνιαυτοῖς, καὶ συν-
αποθνῆσκον τῶν ἀνθρώπων :— τί ἐστι μέσον νόσημα.

Μέσον νόσημά ἐστι, τὸ μεταξὺ χρονίου καὶ ὀξέως μετα-
βάλλον καὶ αὐτὸ ἐπὶ τὸ κρεῖττον, καὶ ἐπὶ τὸ χεῖρον κρι-
νόμενον τοῦ πίπαν ἐν ἡμέραις ἑξήκοντα, ἢ ὀγδοήκοντα :—

Ὀλέθριον νόσημά ἐστι, τὸ — τί ἐστιν ὀλέθριον νόσημα.
πάντη πάντως ὄλεθρον ἐπιφέρον· ἤτοι ἐν ὀλίγῳ χρόνῳ,
ἢ ἐν πλείστῳ :— τί ἐστι περιεστηκὸς νόσημα.

Περιεστηκὸς νόσημά ἐστιν, ὅπερ οὐδέποτε ἀναιρετικὸν γίνεται :—

Κινδυνῶδες νόσημά — τί ἐστι κινδυνῶδες νόσημα
ἐστι, τὸ ῥοπὴν ἴσην ἔχον καὶ πρὸς ὄλεθρον, καὶ πρὸς σω-
τηρίαν· λέγοιτο δ' ἂν τοῦτο καὶ ἀμφίβολον :—

Ἀκίνδυνον νόσημά ἐστι, ἤ ἐστιν ἀκίνδυνον νόσημα
τὸ ἄτρεπτον εἰς ἀπώλειαν, ὅσον ἐφ' ἑαυτῷ τῇ δυνάμει
ποιητικῷ ταυτὸ ὑπάρχει τῷ ποιεστικῷ :— ἤ ἐστι μέγα κατὰ τὴν φαντασίαν νόσημα
Μέγα κατὰ τὴν φαντασίαν νόσημά ἐστιν, ὡς τὸ ἐν συνεστραμμένοις
τόποις θαῦμα πολὺν ἐπέχον τόπον :— ἤ ἐστι τὸ κατὰ ἀποτέ-
Τὸ δὲ κατὰ ἀποτέλεσμα μέγα λεσμα μέγα νόσημα·
νόσημά ἐστιν, ὡς τὸ κατὰ νεῦρον, ἢ μυὸς νύγμα περὶ τὴν
ὄψιν μικρὸν φαινόμενον δυνάμει καὶ μέγα :— ἤ ἐστιν ἀρρώστημα
Ἀρρώστημά ἐστι νόσημα ἐγκεχρονισμένον, κατὰ ἀσθενείας
πλείονας :— ἤ ἐστι νόσημα
Νόσημά ἐστιν, ἔμμονος κατασκευή, παρὰ τὰ μελίζοντα τοῦ
ζῶν σώματα :— ἤ ἐστι πάθος
Οἱ ἡροφίλειοι πάθος λέγουσιν εἶναι τὸ εὔλυτον καὶ εὐκίνητον,
οὗ τὴν αἰτίαν ἐν ὑγροῖς εἶναι :— ἤ ἐστιν ἀρρώστημα
Ἀρρώστημα ἐστὶ νόσημα ἀσθενές, ἐλαττοῦν τὴν δύναμιν :—
Ὀξὺ πάθος ἐστὶ, τὸ σύντομον τὴν ἤ ἐστιν ὀξὺ πάθος
λύσιν, ἢ ἀναίρεσιν, ὅσον ἐφ' ἑαυτῷ ἔχον :— ἤ ἐστι σποραδικὰ νο-
Σποραδικὰ νοσήματά ἐστι τὰ ἐν παντὶ χρόνῳ, σήματα
καὶ τόπῳ γιγνόμενα :— ἤ ἐστιν ἔνδημα νοσήματα
Ἔνδημα νοσήματά ἐστι τὰ ἐν τισὶ πλεονάζοντα τόποις :—
Ἐπίδημα νοσήματά ἐστι ἤ ἐστιν ἐπίδημα νοσήματα
τὰ κατὰ τινας χρόνους ποιῇ πλείονας ἐν ταὐτῷ τόπῳ γιγνόμενα :—
Λοιμός ἐστι, νόσημα ἐπὶ πάντας, ἤ ἐστι λοιμός
ἢ τοὺς πλείους παραγιγνόμενον ὑπὸ διαφορᾶς ἀέρος, ὥστε
τοὺς πλείους ἀπόλλυσθαι. φέρεται δὲ καὶ τοιοῦτός τις
ὅρος· λοιμός ἐστι πάθος κοινὸν πλείστων, ὑπὸ τὸν αὐτὸν και-
ρὸν κατὰ πόλεις καὶ ἔθνη ὀξέσι κινδύνοις καὶ θανάτοις ἐπιφέρον.
δύναται δὲ καὶ οὕτως ὁρίσασθαι· λοιμός ἐστι τροπὴ ἀέρος ὥστε

καὶ τετηρηκέναι τὰς ὥρας τὴν ἰδίαν τάξιν, καὶ τοὺς πολλοὺς ἀποθνήσκειν ὑπὸ τοῦ αὐτοῦ νοσήματος :— τί ἐστιν αἴτιον.

Αἴτιόν ἐστιν, ὃ ποιεῖ τι ἐν τῷ σώματι, καὶ αὐτὸ ἀσώματόν ἐστιν. ἔστι δὲ τὸ μὲν προκαταρκτικόν. τὸ δὲ συνεκτικόν. τὸ δὲ προηγούμενον. τὸ δὲ αὐτοτελές. τὸ δὲ συναίτιον. τὸ δὲ σύνεργον :— τί ἐστι προκαταρκτικὸν αἴτιον.

Προκαταρκτικὸν αἴτιόν ἐστιν, ὃ ποιῆσαν τὸ ἀποτέλεσμα κεχώρισται. ὡς ὁ δακὼν, καὶ ὁ κύων, καὶ ὁ πλήξας σκορπίος. καὶ ἡ ἀπὸ ἡλίου ἔγκαυσις. ἤτοι πυρετὸν ἐργαζομένη :—

Συνεκτικὸν αἴτιόν ἐστιν, ὃ — τί ἐστι συνεκτικὸν αἴτιον.

παρὸν μὲν, παροῦσαν φυλάττει τὴν νόσον, ἀναιρούμενον δὲ, συναιρεῖ. ὡς ὁ ἐν κύστει λίθος. ὡς ἡ ὑδατίς. ὥσπερ ῥύγιον. ὡς ἐμπαγείς. ὡς ἄλλα τοιαῦτα τῶν ἰάσεων, οὐκ ἐναιτίων μόνον λόγῳ. ἀλλὰ καὶ ἐκ παθημάτων ἡ θεωρία ταῦτα. ἀθηναῖος ἢ ὁ ἀτταλεὺς, οὕτω φησίν. αἴτιόν ἐστι, τὸ ποιοῦν. τοῦτο δὲ ἐστὶ τὸ προκαταρκτικόν. ἀλλ' ὡς τὰ προκαταρκτικά. προκαταρκτικὰ αἴτιά ἐστιν, ὅσα προκατάρχει τῆς ὅλης συντελείας τοῦ ἀποτελέσματος, καὶ ὧν οὐδὲν προηγεῖται :— τί ἐστι προηγούμενον αἴτιον

Προηγούμενον αἴτιόν ἐστι τὸ ὑπὸ τοῦ προκαταρκτικοῦ, ἢ κατασκευαζόμενον, ἢ συνεργούμενον. οἱ δὲ, οὕτως. προηγούμενον αἴτιον ἐστὶν, οὗ παρόντος, πάρεστι τὸ ἀποτέλεσμα. καὶ αὐξανομένου, αὔξεται. καὶ μειουμένου, μειοῦται. καὶ αἰρουμένου αἴρεται :—

Αὐτοτελὲς αἴτιόν ἐστι, τὸ αὐτὸ — τί ἐστιν αἴτιον αὐτοτελές

καθ' αὑτὸ ποιοῦν τέλος :— τί ἐστι συναίτιον.

Συναίτιόν ἐστιν, ὃ σὺν ἑτέρῳ δύναμιν ἴσην ἔχον ποιοῦν τὸ ἀποτέλεσμα αὐτὸ ἢ καθ' ἰδίαν μόνον οὐ δυνάμενον ποιῆσαι :—

Σύνεργον αἴτιόν ἐστιν, ὃ ποιοῦν — τί ἐστιν αἴτιον σύνεργον

ἀποτέλεσμα δυσχερῶς δὲ συλλαμβάνον πρὸς τὸ ῥᾷον αὐτὸ γενέσθαι, καθ' ἰδίαν ποιεῖν οὐ δυνάμενον :— τί ἐστι πρόδηλα αἴτια

Πρόδηλα αἴτιά ἐστιν, ὅσα ἐξ αὑτῶν καταλαμβάνεται δι' αἰσθήσεως

ποιοῦντα τε καὶ ἐνεργοῦντα. οἱ δὲ οὕτω. πρόδηλά ἐστιν ἅ-
περ ἃ καὶ αὐτὰ φαίνεται, καὶ ἀποφαίνει, καὶ τὸ ἀποτέλεσμα
συμφώνως αὐτοῖς γιγνόμενον :— τί ἐστι μὴ πρόδηλα ἄδηλα
Οὐ πρόδηλα ἄδηλά ἐστιν, ὅσα οὐκ ἐξ ἑαυτῶν, διὰ δὲ σημείων κα-
ταλαμβάνεται. οἱ δὲ οὕτως. πρόδηλα ἐστιν, ὅσα οὐκ ἐξ ἑαυτῶν
διὰ δὲ σημείων καταλαμβάνεται. καθάπαξ δὲ ἄδηλα, ὅσα οὔτε
ἐξ ἑαυτῶν, οὔτε ἐξ ἄλλων καταλαμβάνεται :— τίνα ἐστὶ τὰ πρὸς καιρὸν ἄδηλα
Πρὸς καιρὸν ἄδηλά ἐστιν, ὅσα ὑποκαλυφθέντα μὲν τοῖς ἐξ αὐτῶν
φαίνεται, καὶ πλανώμενα δὲ τοῖς σώμασι διὰ σημείων γνωρίζεται.
ἢ οὕτως. πρὸς καιρὸν ἄδηλα ἐστι, τὰ μέχρι μέν τινος ἀπόντα
αὖθις δὲ ὑπὸ τὴν αἴσθησιν ἐλθεῖν δυνάμενα :— τί ἐστι σημείωσις
Σημείωσίς ἐστιν, ἡ διὰ σημείου, ἢ σημείων κατάληψις :—
Σημεῖόν ἐστι τοῦ μέλλοντος συμβήσεσθαι, τί ἐστι σημεῖον
διάγνωσις. τινὲς δὲ οὕτως. σημεῖόν ἐστιν, οὗ γνωσθέντος,
ἕτερον ἀγνοούμενον ἡμῖν γιγνώσκεται καταλαμβανόμενον :~
Ὅτι σημειώσεως εἴδη δύο. παθογνωμονικὸν καὶ προγνωστικόν
Παθογνωμονικὸν μὲν οὖν ἐστι, τῶν τε ἐντὸς[?], καὶ τῶν ἐκτὸς ση-
μείωσις. προγνωστικὸν δὲ, ἐπιστήμη τῶν ἀποβήσεσθαι μελ-
λόντων σημείωσις. σημεῖον δὲ ἐστι, τὸ τινὸς ἀδήλου δηλω-
τικόν. πρόγνωσίς ἐστι, τὸ προεπίστασθαι τὰ μέλλοντα συμ-
βήσεσθαι τῷ σώματι :— τί ἐστι προγνωστικὸν σημεῖον
Προγνωστικὸν σημεῖόν ἐστιν, ἐξ οὗ γιγνώσκεται τὸ μέλλον :—
τί ἐστι πρόρρησις
Πρόρρησίς ἐστι πρόγνωσις καὶ προσ-
αγόρευσις τοῦ μέλλοντος :— τί ἐστι παθογνωμονικὸν σημεῖον.
Παθογνωμονικὸν σημεῖόν ἐστιν, ἐξ ὧν γιγνώσκεται τὸ πάθος :~
Συνδρομή ἐστι, σύνοδος τῶν συμπτωμάτων :— τί ἐστι συνδρομή
Βοηθηματικὰ σημεῖά ἐστιν, τί ἐστι βοηθηματικὰ σημεῖα
ἐξ ὧν ὑπομιμνησκόμεθα τῆς ἐπ' αὐτοῖς τελουμένης θεραπείας :~

ἢ σύμπτωμα
ωμά ἐστι πα
σ ἐπιγέννημα :—

Βοήθημά ἐστι, τὸ ἐπ' ὠφελείᾳ προσφερόμενον ἀνθρώποις σώζειν, ἐκ ποσότητος, ἐκ ποιότητος, τάξεως καιροῦ :— τί ἐστι βοήθημα. τί ἐστι θεραπεία

Θεραπεία ἐστὶ τάξις βοηθημάτων ἀκολουθίαν ἐχόντων, ἢ καιρὸς καὶ χρόνος ~~κατ~~ κατορθώματος, ἢ ἐπιτηδειότης χρόνου ἐν ᾧ βοηθοῦμεν τοῖς κάμνουσι :— τί ἐστιν ἐνδεικτικὸν σημεῖον.

Ἐνδεικτικόν σημεῖόν ἐστι, τὸ ~~[illegible]~~ ἀμέσως ἐν καταλήψει ἀδή-λου τινὸς ἀκολουθοῦντος τὸ ἂν τὸ γαθόν :— τί ἐστιν ὑπομνηστικὸν σημεῖον.

Ὑπομνηστικόν σημεῖόν ἐστι, ὡς οἱ ἐμπειρικοὶ λέγουσι, πρᾶγμα φαινόμενον καὶ γιγνωσκόμενον ἐκ προ-τετηρήσεως, χρησιμεῦον εἰς ὑπόμνησιν γιγνωσκο-μένου πράγματος :— τίνα ἐστὶ παρόντα παρόντων σημεῖα.

Παρόντων παρόντα σημεῖά ἐστι, πάντα τὰ παθογνωμονικά· τού-των γὰρ γιγνωσκομένων καὶ παρόντων μὲν τὰ πάθη, παυομένων δὲ, λύεται καὶ τὰ νοσήματα :— τίνα ἐστὶ παρόντων προγεγονότων σημεῖα

Παρόντα προγεγονότων σημεῖά ἐστιν, ὡς ἡ οὐλὴ, τοῦ προγεγε-νημένου ἕλκους :— τίνα ἐστὶ παρόντα μελλόντων σημεῖα

Παρόντα ἢ μελλόντων σημεῖά ἐστιν, ὡς τὸ νεκρῶδες πρόσωπον τοῦ θανάτου :— τίνα ἐστὶ προγεγονότα σημεῖα προγεγονότων.

Προγεγονότα σημεῖα προγεγονότων ἐστίν, ὡς ἡ μετὰ τὴν ~~[illegible]~~ πταρμὸν ἄνεσις τοῦ πνιγματώδους :— τίνα ἐστὶ προγεγονότα παρόντων σημεῖα.

Προγεγονότα παρόντων σημεῖά ἐστιν, ὡς τὸ δεδῆχθαι ὑπὸ ἀσπίδος, καὶ ἐν ὀλεθρίοις εἶναι τοῦτο· οἱ δὲ οὕτως· προγεγονότα παρόντων, ὡς τὸ τετρῶσθαι τὸ λεπτὸν ἔν-τερον, τοῦ ἐν ὀλεθρίοις εἶναι τοῦτο :— τίνα ἐστὶ προγεγονότων ἑπόμενα σημεῖα.

Προγεγονότων ἑπόμενα σημεῖά ἐστιν, ὡς τοῦ συντετριβότος ὀστοῦ πώρωσιν ἐπιδεξαμένου· πωρωθῆ-ναι γὰρ ~~δεῖ~~ δεῖ τοῦτο, καὶ τὴν ἀποκατάστασιν· οἱ δὲ οὕτως· προ-γεγονότα δὲ ἑπόμενα, ὡς τοῦ ἀναιρεθέντος αὐτῆς κεφαλῆς

Ε ὅσου, τὴν συχνὴν ἔσεσθαι :— ἤγουν ἔστιν ἐπιγενόμενα πρὸς τοῦ σημεῖα
ἐπιγενόμενα πρὸ τοῦ σημεῖά ἐστιν· ὡς ἐπὶ τραύματι κίνδυνον
δεῖν, τὰ τραυθέντα ἐπὶ χρόνου :— ἤγουν προγενόμενα ἐπιγενομένου

Π ρογενόμενα ἐπιγενομένου σημεῖά ἐστιν· σημεῖά ἐστιν·
ὡς ὁ ἐπὶ τραύματι σπασμὸς οὐκ ἔτι ζῇ ὁ σπασθεὶς :—

περὶ πυρετῶν. ἤ ἐστι πυρετός.

Π υρετός ἐστι· πλεονασμὸς θερμασίας τοῖς ὅλοις ἀναφερομένης,
μετὰ παραλλαγῆς σφυγμῶν, ἐπὶ τὸ πυκνότερον, καὶ σφοδρότερον.
οἱ δὲ οὕτω· πυρετός ἐστι δυσκρασία τοῦ φυσικοῦ πνεύματος. +
ἐπὶ τὸ θερμότερον, καὶ ξηρότερον :— ἤ ἐστι πυρετὸς σύνοχος.

Π υρετὸς σύνοχός ἐστιν, ὁ μὴ διαλείπων μήτε ἐνδόσιμος μήτε κινούμενος.
ἀνέσεις ἢ καὶ ἐνδόματα· καὶ παροξυσμοὺς ἐπιφέρων :—

ἤ ἐστι καῦσος

Κ αῦσός ἐστιν, ὁ μετὰ πυρώσεως πολλῆς
γινόμενος· ἀνάπαυσιν μηδεμίαν τῷ σώματι παρέχων· γλῶσσαν ἐπιξηραίνων· μελαίνων· ἐπιθυμίαν ψυχροῦ παρέχων :—

ἤ ἐστι πεμφιγώδης πυρετός.

Π εμφιγώδης πυρετός ἐστιν.
ὁ διὰ τὴν ἐπίτασιν τῆς θερμασίας, φλυκτίδας ἀνὰ τὸ σῶμα
παρασκευάζων :—

ἤ ἐστι λειπυρίας πυρετός.

Λ ειπυρίας ἐστὶ πυρετὸς, ἐφ' οὗ τὰ ἄκρα, καὶ ἡ ἐπιφάνεια ψυχεῖ,
καίεται δὲ τὸ βάθος· ἐπέχονται δὲ αἱ ἀποκρίσεις διψῶσι γλῶσσα·
τραχεῖα, σφυγμὸς μικρὸς, καὶ ἀμυδρὸς, ἅτε ἔσω νενευκότος
τοῦ θερμοῦ :—

ἤ ἐστι ῥοώδης πυρετός.

Ῥ οώδης πυρετός ἐστι, ὁ μετὰ ῥύσεως κοιλίας πολλάκις ἢ καὶ ἐμέτου
ποιητικὸς ἐπιφέρων, καὶ ταχεῖαν καθαίρεσιν, τῆς δυνάμεως μετὰ δίψους καὶ ἀγρυπνίας, καὶ μικρότητος σφυγμῶν :—

ἤ ἐστι στηνὸς πυρετός

Σ τηνὸς πυρετός ἐστιν, ὁ ἐναντίος τῷ ῥοώδει, οὐκ ἐπιφέρων ἐκκρίσεις· τοὺς σφυγμοὺς
μεγάλους διαφυλάττων· ἰσχναίνων βραδύτερον· καὶ τὸν χρόνον τὸ νόσημα :—

ἤ ἐστιν ἠπιαλώδης πυρετός.

Ἰκτερώδης πυρετός ἐστιν, ὁ τὴν χρόαν ὁμοίαν ἰκτέρῳ παρα-
σκευάζων ὑποχόνδρια μετεωρίζων· γλῶτταν ἐπὶ ξηραίνων· τὴν
ἐπιφάνειαν δὲ ὠχρὰν παρασκευάζων:— ἢ ἐστὶ λοιμώδης πυρετός.
Λοιμώδης πυρετός ἐστιν, ὁ μετὰ πολλῆς θερμασίας, δίψος ἀπαρά-
πτωτον ἐπιφέρων· δυσώδεις κοιλίας ἐκκρίσεις βρωμώ-
δεις φέρων, ἐμφερῆ εἶναι τὰ ἀποκρινόμενα, τῷ ἀπὸ τῶν
ἑλῶν βρώματι· οὖρα πολλὰ δυσώδη· σφυγμοὺς μικροὺς
καὶ ἀμυδροὺς ἐπιφέρων:— ἢ ἐστὶ νωθὴς πυρετός
Νωθὴς πυρετός ἐστιν, ὁ μετὰ καρηβαρίας γιγνόμενος, ἢ διὰ μυκτή-
ρων αἱμορραγίαν ἐπιφέρων· ἢ ἐποχὴν ἀποκρίσεως· καὶ
πρὸς ἀνάγκας δύναται ὑπλασίαν τοῦ σώματος:— ἢ ἐστὶ κρυμώδης
πυρετός.
Κρυμώδης πυρετός ἐστιν ἀναμεμιγμένην ἔχων
τῷ ῥίγει τὴν θερμασίαν· σφυγμοὺς ἄγαν ἀσθενεῖς ἔχων, ὡς
τε μὴ ἢ τῆς ἁφῆς ἀφικνεῖσθαι· ἀλλ᾽ ὡς ἀπονενευκότας γαστὴρ
ὀγκουμένη βορβορύζουσα· γλῶσσα ὑγρὰ πάνυ ὀξύ-
ζουσι ὅμοιον· καὶ ὥσπερ σίελα ποικιλλόμενα:— ἢ ἐστὶ τύπος.
Τύπος ἐστὶν ἐπιτάσεων καὶ ἀνέσεων τεταγμένη ἀνταπόδοσις.
καὶ οὕτως· τύπος ἐστὶ πάθος, ᾧ καὶ παροξυσμὸς καὶ διάλειμμα
τεταγμένον συμβαίνει:— ἢ ἐστὶ περίοδος
Περίοδός ἐστιν ἐξ ἐπιτάσεως καὶ ἀνέσεως ἐν τοσούτῳ τῷ χρόνος:—
Ἀμφημερινός ἐστιν, ὁ καθ᾽ ἑκάστην ἢ ἐστιν ἀμφημερινός
ἡμέραν καὶ νύκτα καὶ τὸ πλεῖστον τὰς αὐτὰς ὥρας ἐπισημαίνων:—
Τριταῖός ἐστιν, ὁ μίαν μὲν ἡμέραν, ἢ ἐστὶ τριταῖος
νύκτα ἐπισημαίνων, τὴν δ᾽ ἑξῆς διαλείπων, καὶ διὰ τρίτης πά-
λιν γιγνόμενος:— ἢ ἐστὶ τεταρταῖος
Τεταρταῖός ἐστιν, ~~ὃν ἡμεῖς λέγομεν καὶ τὸν παλ~~ ὁ μίαν μὲν ἡμέραν,
ἤτε νύκτα ἐπισημαίνων, τὰς δ᾽ ἑξῆς διαλείπων ἡμέρας ἢ νύκτας
δύο· τῇ δὲ τετάρτῃ πάλιν γιγνόμενος:— ἢ ἐστιν ἡμιτριταῖος
Ἡμιτριταῖός ἐστιν, ὃν ἡμεῖς λέγομεν καὶ τὸν παλαιόν, τὸν ἐρη-

μένον ἐν τοῖς πρώτοις τῶν ἐπιδημιῶν πυρετὸν ὀξύν. τὸ μὲν
ὅλον οὐ διαλείποντα, μίαν δὲ κουφοτέραν, καὶ μίαν βαρυ-
τέραν ἐπιφέροντα. οἱ δὲ ἀπὸ τῆς μεθόδου ἡμιτριταῖον
μικρὸν, τὸν δύο διαστημάτων ἔφησαν :– τίνες εἰσὶν οἱ πλανῆτες
Πλάνητες πυρετοὶ καλοῦνται, οἱ μὴ ὡρισμένως πυρετοί.
νως, μὴ δὲ ὁμαλῶς, ἀλλὰ καταστάσει γινόμενοι :– τί ἐστι διαστολή
Διαστολή ἐστιν ἄρσις, καὶ οἷον ἐπανάστασις καρδίας, καὶ ἀρτηριῶν
καὶ ἐγκεφάλου, καὶ μηνίγγων κατὰ μῆκος καὶ πλάτος καὶ βάθος
ἀνάλογον πρὸς τὴν ἔμπτωσιν τῆς ἁφῆς :– τί ἐστι συστολή
Συστολή ἐστι συναγωγὴ καὶ σύμπτωσις, τὴν μὲν αἴσθησιν οὐ κι-
νοῦσα, τῷ δὲ λόγῳ, καὶ ἀκολούθως καταλαμβανομένη. οἱ
δὲ, οὕτως. συστολή ἐστι διαίρεσις καρδίας καὶ ἀρτηριῶν. κατὰ μῆ-
κος καὶ κατὰ πλάτος ἀναλογοῦσα πρὸς ἔμπτωσιν τῆς ἁφῆς. οἱ δὲ, ἰλῶν
οὕτως. συστολή ἐστι συναγωγὴ καὶ σύμπτωσις τοῦ τῶν τὴν μὲν
αἴσθησιν οὐ κινοῦσα, τῷ δὲ λόγῳ καὶ ἀκολούθως κατα-
λαμβανομένη :– τί ἐστι παλμός.
Παλμός ἐστιν ἔπαρσις καὶ ὕφεσις σώματος ἔχοντος καὶ μὴ ἀντιτυ-
ποῦντος ὑπὸ πνεύματος γινόμενος. οὐκ ἀεὶ παρακολουθῶν.
ἀλλὰ κατὰ χρόνους τινὰς γινόμενος. οἱ δὲ, οὕτως. παλμός ἐστιν
ἔπαρσις καὶ ὕφεσις σωμάτων μυωδῶν ὑπὸ πνεύματος
ἀποτελούμενος, οὐκ ἀεὶ γινόμενος ἀλλὰ κατὰ χρόνους τινάς :–
Μέγας σφυγμός ἐστιν, ὁ κατὰ μῆκος τί ἐστι μέγας σφυγμός
καὶ βάθος καὶ πλάτος τῆς ἀρτηρίας ἐπὶ πολὺ διεστηκώς, γι-
νόμενος :– τί ἐστι μικρὸς σφυγμός
Μικρὸς σφυγμός ἐστιν ὁ τοὐναντίον ἐπ᾽ ἐλάχιστον κατὰ μῆκος,
καὶ βάθος, καὶ πλάτος. ἐπαιρομένης τῆς ἀρτηρίας ἐπιτελούμενος :–
Μέσος σφυγμός ἐστιν, ὁ μεταξὺ τούτων τί ἐστιν ὁ μέσος σφυγμός
ἀμφοτέρων κατὰ τὸ μῆκος καὶ κατὰ τὸν κύκλον ἀναλογοῦντα, καὶ
τῆς ποσότητος ὑποπίπτουσαν :– τί ἐστιν ὁ πλήρης σφυγμός.

Πλήρης σφυγμός ἐστιν, ὁ διάμεστος πρὸς τὴν ἁφὴν ὑποπί-
πτων, ὥστε αὐτὸν τὸν χιτῶνα τῆς ἀρτηρίας ἐπισωματώτερον δο-
κεῖν γεγονέναι. μάλιστα δέ, τὸ ἐντὸς αὐτῆς ἅπαν ὑγρὸν ἢ σω-
ματωδέστερον καταλαμβάνεσθαι :— τί ἐστιν ὁ κενὸς σφυγμός
Κενὸς σφυγμός ἐστι, καθ' ὃν αὐτῆς τε ἀρτηρίας ἡ περιοχὴ παντά-
πασιν ἰσχνή, καὶ πομφολυγώδης ἐστι, καὶ τὸ σῶμα ἀμαυρὸν,
καὶ ἐξίτηλον, οἷον, καὶ ἐὰν τις πιέσῃ τοῖς δακτύλοις κενεμ-
βατήσεως αἴσθησιν ὑποπίπτειν :— τί ἐστιν ὁ σκληρὸς σφυγμός.
Σκληρὸς σφυγμός ἐστιν, ἐφ' οὗ νευρώδης, ὡς ἂν εἴποι τις, καὶ
ἀπότομος ἡ ἀρτηρία φαίνηται, τότε καὶ τὸ ἐντὸς πνεῦμα ἐν-
π: τεταμένον τελούμενον· ὥστε καὶ τὴν πληγὴν ἔχειν ἀπολικμητικόν :—
Ἁπαλὸς σφυγμός ἐστιν, ὁ ὑπεναν- τίς ὁ ἁπαλὸς σφυγμός
τίος τῷ σκληρῷ, ἀνειμένην, καὶ ἁπαλὴν ἔχων τὴν ἀρτηρίαν.
καὶ οὗ τὸ ἐντὸς πνεῦμα, ἐκλελυμένον, καὶ τὴν πληγὴν προ-
σηνεστέραν :— τίς ὁ ὑγρὸς σφυγμός
Ὑγρὸς σφυγμός ἐστιν, ὁ ἁπαλὸς, ὅσοις τε καὶ τῆς ἐν αὐτῷ οὐσί-
ας προσωποῦς ὑγρασίας τινὶ προσβάλλων :— τίς ὁ αὐχμηρὸς σφυγμός.
Αὐχμηρὸς σφυγμός ἐστιν, ὥστε ἐκδαπανᾶσθαι μὲν τὴν ὑγρότητα.
ξηρὰ δὲ καὶ ἀερώδει ἀναθυμιάσει, ἀναμεμῖχθαι :— τίς ὁ σφοδρὸς σφυγμός
Σφοδρὸς σφυγμός ἐστιν, ὁ τὴν κίνησιν εὔτονον, καὶ βιαίαν ποιούμενος
τὴν πληγήν :— τίς ἀμυδρὸς σφυγμός
Ἀμυδρὸς σφυγμός ἐστιν, ὁ ἔκλυτον ἔχων τὸν τόνον, καὶ τὴν πληγὴν
ποιούμενος ἀσθενῆ :— τίς ὁ μέσος σφυγμός
Μέσος σφυγμός ἐστιν, ὁ ἀναλογίαν τινὰ σώζων πρὸς ἑκάτερον τούτων :—
τίς ὁ ταχὺς σφυγμός·
Τ Ταχὺς σφυγμός ἐστιν, ὁ σύντομον
ἔχων τὴν διαστολὴν, καὶ συστολήν :— τίς ἐστι τάξις
Τάξις ἐστὶ σχέσις καὶ μεγέθους, ἢ σφοδρότητα, ἢ ῥυθμὸν, ἢ ἄλλην
τινὰ διαφοράν :— τί ἐστιν ἀταξία
Ἀταξία ἐστιν, ἀναλογία κατὰ τοὺς σφυγμοὺς, διάφορος. εἴδη, οὕτως.
Ἄτακτος σφυγμός ἐστιν, ὁ ποτὲ μὲν πυκνότερος γινόμενος πάλιν ας

Ο πληγάς, ποτὲ δὲ ἀραιότερος :— τί ἐστιν ὁμαλότης
μαλότης ἐστιν, ἰσότης κατά τινας τῶν σφυγμῶν διαφορῶν :— τί ἐστιν
Α νωμαλία ἐστιν, ἀνισότης σφυγμῶν, κατά τινας τῶν ἀνωμαλία
τῶν παρεπομένων αὐτοῖς διαφορῶν. οἱ δὲ, οὕτως· ἀνώμαλος σφυγ-
μός ἐστιν, ἐφ' οὗ ποτὲ μὲν σφοδρότεραι αἱ πληγαὶ γίνονται.
ποτὲ δὲ ἀμυδρότεραι :— τί ἐστι ῥυθμός,
Ρ υθμός ἐστι βάκχειος. Ἡρόφιλος εἶπε· ῥυθμός ἐστι κίνησις
ἐν χρόνοις τάξιν ἔχουσα ὡρισμένην. Ζήνων δὲ ὁ Ἡροφίλειος
εἶπε· ῥυθμός ἐστι τάξις τῶν ἐν οἷς ~~[illegible]~~ διΐστανται αἱ
ἀρτηρίαι, πρὸς τοὺς ἐν οἷς συστέλλονται. βάκχειον ἤ, οὕτως
ἀφορίσασθαι· ῥυθμός ἐστιν ἀναλογία χρονικὴ τῶν πρὸς τοὺς
σφυγμοὺς μετρῶν, ποιάν σχέσιν ἐχόντων πρὸς ἀλλήλους.
Ἕτερος δὲ ὡρίσατο οὕτως· ῥυθμός ἐστι σχέσις τῶν ἐν οἷς δι-
Ε στανται αἱ ἀρτηρίαι, πρὸς τοὺς ἐν οἷς συστέλλονται :— τί ἐστιν ἑτερόρ-
τερόρρυθμον λέγομεν, τὸν ἑτέρας ἡλικί- ῥυθμος σφυγμός.
ας ῥυθμὸν ἔχοντα :— τίς ὁ παράρρυθμος σφυγμός.
Π αράρρυθμον φαμέν, τὸν πολὺ προσεγγίζοντα ταῖς ἡλικίαις,
ἐφ' ἧς ~~[illegible]~~ θεωρεῖται ῥυθμὸν μὴ ἔχοντα, μὴ παντάπασι δὲ
ὄντα παρέκτον :— τίς ὁ τρομώδης σφυγμός.
Τ ρομώδης σφυγμός ἐστιν, ὁ μὴ ὁμαλῶν, μηδ' ἄσαλον τὴν πλη-
γὴν ἐπιφέρων. ἀλλ' ὅλον κινούμενος :— τίς ὁ ἐσκολιωμένος σφυγμός
Ε σκολιωμένος σφυγμός ἐστιν, ὁ μὴ ἐπ' εὐθείας τεταγμένην
τὴν ἀρτηρίας ἐπιτελούμενος παρὰ τὴν θέσιν :— τίς ἀνώμαλος σφυγμός
Α νώμαλος ἐστιν, ὁ κατὰ μὲν τι μέρος ὑψηλότερος ὑποπίπτων, καὶ
ἐπὶ πλεῖον διαφυσωμένης τῆς ἀρτηρίας, κατὰ ~~[illegible]~~ ἀνισουμέ-
νης. κατὰ δὲ τι ἐπὶ πολὺ καὶ ὥσπερ ἀποστενοχωρουμένης :—
Κ ατὰ σφοδρότητα ἀνώμα- τίς ὁ κατὰ σφοδρότητα ἀνώμαλος.
λος ἐστιν, ὁ ὥσπερ κατὰ μὲν τι μέρος τῆς ἀρτηρίας βιαιοτέραν τὴν
ἐξέρεσιν ποιούμενος. κατὰ δὲ τι ὑποβεβηκυῖαν καὶ ~~[illegible]~~ ἀσθενεστέραν :—

τίς ὁ μύουρος σφυγμός

Μύουρος ~~σφυγμὸς~~ ἐστιν, ὃ
παρὰ τὴν θέσιν, ὅταν τὰ μὲν ἐπάνω μόρια τῆς ἀρτηρίας ἐπὶ πλέ-
ον συναγάγηται, καὶ κάτω τοὐναντίον· ἐνταῦθα μὲν ἐπὶ πλέον
ἀναθρώσκηται, ἐνταῦθα δὲ τοῖς ἐπάνω μορίοις συναιρεῖται.
οἱ δὲ πλεῖστοι, μυουρίζοντα καλοῦσι, ὅταν ἀπὸ μείζονος τῆς
προαγούσης πληγῆς, αἱ ἐφεξῆς κατὰ ὑφαίρεσιν ἀεὶ καὶ μᾶλ-
λον μικρότεραι συντελοῦνται. ὀνομάζονται δὲ μύουροι, καὶ οὕτως.
ὅταν ἀπὸ τοῦ πυκνοῦ σφυγμοῦ, ἀραιότεροι σφυγμοὶ ἀποτε-
λοῦνται. καλεῖται δὲ μύουρος, καὶ ὅταν ἀπὸ τοῦ ταχέος βρα-
δύτερος ὁ σφυγμὸς μεταγίγνηται:— τίς ὁ δίκροτος σφυγμός

Δίκροτος σφυγμός ἐστιν, ὅταν καὶ δοκοῦσα ὑποχωρούσης τῆς ἀρτη-
ρίας καὶ παντελῶς δεξαμένη, ἐφ' ἑτέραν ἐπεπήδησεν ἀθρο-
ώτερον πρὶν ἔμφασιν συστολῆς παρασχεῖν. βιαιοτέρα δὲ καὶ δευ-
τέρα γένηται πληγή:— τίς ὁ παλινδρομῶν σφυγμός

Παλινδρομῶν σφυγμός ἐστιν, ὁ ἐπὶ ποσὸν ἐμβαίνων τὸ μέγεθος
καὶ τὴν σφοδρότητα, καὶ ἐπὶ τῶν ἄλλων ἑπτὰ εἰς τοῦτο πάλιν
ἐπιστάμενος:— τί ὁ μυρμηκίζων σφυγμός.

Μυρμηκίζων ἐστὶ, μικρός, κενός, πυκνός, ἀμυδρός, πάντων
ἐπὶ τὸ ἔσχατον κατηγμένος. καὶ οὕτως. μυρμηκίζων ἐστὶν, ἀφ'
οὗ γίγνεται φαντασίαν περὶ τοῖς ἐπιτιθεμένοις τῇ ἀρτηρίᾳ
δακτύλοις, οἷον ὑπὸ μύρμηκος περιπατοῦντος, ὥστε καὶ μι-
κρὸν εἶναι αὐτὸν, καὶ ἀμυδρόν:— τί ἐστι φρενῖτις.

Φρενῖτίς ἐστι παρακοπὴ διανοίας μετὰ ὀξέος πυρετοῦ, καὶ κροκυ-
δισμοῦ, καὶ διανοίας ἐκστάσεως. καὶ τῶν καὶ σφυγμῶν ταύτης ἐμπο-
δισμός, καὶ λήθη τοῦ φρονεῖν. ἢ παρακοπὴ φρενῶν, σύντονος
μετὰ ῥόμβου καὶ φωνῆς ἀσαφείας, καὶ καταφορᾶς γιγνομένης
τοῦ ἐπίπαν ὑποκαιομένου πυρετοῦ:— τί ἐστι λήθαργος

Λήθαργός ἐστι καταφορὰ δυσδιέγερτος μετὰ ἀγροίας καὶ ἀνοιδήμα- τί ὁ
τος σφυγμώδους, σὺν ἀλογίᾳ τῶν ἐρωτώντων, καὶ τοῦ σφυγ- φυσώδους

καὶ τοῦ πνεύματος γινομένη τοῦ σπλάγχνου ὑποβλήχρου καὶ
κακοήθους πυρετοῦ. γίνονται δὲ οἱ λήθαργοι, οἱ μὲν, παθού-
σης τῆς ἀρχῆς, οἱ δὲ ἐπὶ ἀποστάσει. — τί ἐστι συνάγχη.
Συνάγχη ἐστὶ πάθος περὶ τράχηλον, ὀξύ, χαλεπώτατον, πνιγμώδ-
δες, πυρετὸν ἔχον. ἢ οὕτως. συνάγχη ἐστὶ φλεγμονὴ,
τοῖς μὲν ἔξωθεν τοῦ τραχήλου, ὥστε ἐξογκοῦσθαι τὰ μέρη·
τοῖς δὲ ἔνδοθεν τῶν παρισθμίων, ὥστε συμπάσχειν, καὶ τὰ ἀνα-
πνευστικὰ ὄργανα, καὶ δυσπνοεῖν. — τί ἐστι σπασμός.
Σπασμός ἐστι παρέντασις καὶ μυῶν γινόμενον πάθος, μετὰ τοῦ
ἄνευ προαιρέσεως ἕλκεσθαι. ποτὲ μὲν τὸ μέρος, ποτὲ δὲ τὸ ὅλον. —
Τέτανός ἐστιν ἀπόστασις, καὶ πῆξις. — τί ἐστι τέτανος.
ἢ ὅταν τὸ σῶμα πάντων μυῶν τε καὶ νεύρων. ἢ οὕτως. τέτανός
ἐστι σπασμὸς ἐπειδὰν μετὰ τοῦ τὸν τράχηλον ἕλκεσθαι, καὶ τὰς
σιαγόνας συγκλείεσθαι τε τοὺς ὀδόντας, καὶ μήτε ἐπιστρέφειν τὸν
τράχηλον δύνασθαι, μήτε ἀνανεύειν. — τί ἐστιν ἐμπροσθότονος.
Ἐμπροσθότονός ἐστιν, ὅταν ἔμπροσθεν ἕλκηται ὁ τράχηλος, καὶ
εἰς τοὔπισθεν ἀνακλᾶσθαι μὴ δύνηται. — τί ἐστιν ἐπιληψία.
Ἐπιληψία ἐστὶν, ἐπίληψις διανοίας, καὶ τῶν αἰσθητηρίων, μετὰ
τοῦ πίπτειν ἐξαίφνης. ἐπισυμβαίνει δὲ αὐτοῖς καὶ ἀφρὸν φέρε-
σθαι διὰ τοῦ στόματος. — τί ἐστι κάτοχος.
Κάτοχός ἐστιν ἀκινησία ψυχῆς, καὶ μετὰ πήξεως τοῦ παντὸς σώματος. —
Οἱ μὲν [illegible], ὅσα πλάνη- ὅτι ἐστι κατόχου [illegible]
ται ληθάργων. ὁ δὲ ἕτερος ἐγρηγορικός, ὃ παρακαλεῖται τέτα-
νος. καὶ ἡ ἐφεστῶσα καλουμένη πῆξις. τρίτον εἶδος κατόχου,
ὃν οὐκ ἄλλως ἀσυνέτως ὀνομάζει φρενιτικόν. — τί ἐστι τυφωνία.
Τυφωνία γίνεται, ἐκ μίγματος ἀρρωστημάτων κατόχου τε καὶ φρε-
νίτιδος· ὥσπερ καὶ ἡ τυφωνία, ὅπερ ἐστὶ λήθαργος παρακοπτι-
κός. ἢ παρακοπὴ ληθαργική. — τί ἐστιν ἀποπληξία

Ἀποπληξία ἐστὶ κατοχὴ διανοίας μετὰ ἀναισθησίας, καὶ πάρεσις ὅλου
τοῦ σώματος :— τίνι διαφέρει ἀποπληξία παραπληξίας·
Διαφέρει ἀποπληξία παραπληξίας, ὡς μέρος ὅλου· οἱ μὲν γὰρ ἀπο-
πληκτοι πάντως καὶ ἡμίπληκτοι· οἱ δὲ ἡμίπληκτοι, οὐ πάντως
καὶ ἀπόπληκτοι· καὶ ὅτι οἱ μὲν ὑγιαίνοντες τὴν διάνοιαν παρείμενοι
εἰσὶ τοῦ σώματος μέρος, ἢ μέρη· οἱ δὲ ἀποπληκτικοί, καὶ ταῦτα
καὶ τὴν διάνοιαν, καὶ τὸ ὅλον :— τίνες εἰσὶ παραπληκτικοί·
Παραπληκτικοὶ λέγονται, οἷς μόνα τὰ δεξιὰ, ἢ τὰ ἀριστερὰ, αἱ
παρέσεις γίγνονται :— τί ἐστι περιπνευμονία
Περιπνευμονία ἐστὶ φλεγμονὴ πνεύμονος μετὰ πυρετοῦ ὀξέος,
ἢ δύσπνοια γίγνεται ἢ ἐπαυλῶν, καὶ ἐν ἐρευθῆ τὰ μῆλα :—
Πλευρῖτίς ἐστιν ὀδύνη πλευροῦ, καὶ τί ἐστι πλευρῖτις·
ὑπεζωκότος, ~~διατείνουσα~~ διατείνουσα μέχρι κλειδὸς, καὶ ἀκρω-
μίου, καὶ ὠμοπλάτης. σὺν ὀξεῖ καὶ ἀδιαλείπτῳ πυρετῷ ~~μετὰ~~
μετ᾽ ὀδύνης, νυγματώδους ὁμοῦ, καὶ φρίκης, καὶ δυσπνοίας,
καὶ βηχός :— τί ἐστι καρδιακὴ διάθεσις
Καρδιακὴ διάθεσίς ἐστι, τῆξις τοῦ ἐμφύτου τόνου, καὶ πάρεσις.
γίγνεται τοὐπίπαν, ἐπὶ στομάχῳ γαστρὸς κακοπραγοῦντι καὶ στομά-
χῳ μετ᾽ ἰδρώτων ἀκατασχέτων· τινὲς δὲ ᾠήθησαν, ἐπὶ καρ-
δίᾳ φλεγμαινούσῃ γίγνεσθαι τὸ πάθημα, καὶ διὰ ταύτην τοῦ
τόνου τὴν ἔκλυσιν καρδιακὴν, ἤτοι διάθεσιν, ἢ συγκοπὴν
ἐκάλεσαν τὸ συμβαῖνον :— τί ἐστιν ἐμπνευμάτωσις·
Ἐμπνευμάτωσίς ἐστιν, ὅταν πλεῖον ~~τὸ~~ πνεῦμα γενόμενον κατέχῃ
τὸν στόμαχον, καὶ διατείνῃ αὐτὸν καὶ τὴν κοιλίαν μετὰ ταῦτα· ὥστε
καὶ ἐμποδίζεσθαι τὴν τῆς τροφῆς οἰκονομίαν :— τί ἐστι χολέρα
Χολέρα ἐστὶ πάθος κάτοξυ καὶ χαλεπὸν, ἢ πάντα τὸν ἄνθρω-
πον, ὡς καταρρέον ἀπήνεγκεν, δι᾽ ἐμέτων, ἢ ἐκ διαρροίας,
καὶ πολλῆς ἐκκρίσεως, ὡς στρόφου, καὶ μικρὸν ὕστερον ἐσ

πυρετοῖς ἀπέστη δυσεντεριώδης, ἢ ἑκτικούς, καὶ μαραίνονται.
ἢ οὕτως. χολέρα ἐστὶ πάθος ὀξὺ μετὰ ἐμέτων πολλῶν χολωδῶν.
ἢ ὑποχωρήσεων τῆς κοιλίας, καὶ τὸ συνέλκεσθαι τὰς γαστροκνη-
μίας, καὶ καταψύχεσθαι τὰ ἄκρα· γίγνονται ἐπ' αὐτῶν οἱ σφυγμοὶ
Ει μικρότεροι καὶ ἀμυδρότεροι :— τί ἐστιν εἰλεός
λεός ἐστι, φλεγμονὴ ἐντέρων, ὥστε μήτε φύσας, μήτε δια-
χωρήματα διεξιέναι· ἐμέτους τε ἰσχυροὺς παρακολουθεῖν,
Ι καὶ ἀλγήματα ὑπερβεβηκότα :— τί ἐστιν ἴκτερος
κτερός ἐστιν, ἀνάχυσις χολῆς εἰς τὸ δέρμα, ὥστε βάπτεσθαι τὴν
ἐπιφάνειαν καὶ χλωρὰν ἀποτελεῖσθαι, καὶ κνήθεσθαι τὸ δέρμα.
καὶ λευκαὶ αὐτοῖς αἱ κατὰ κοιλίαν διαχωρήσεις γίγνονται :—
Μ ανία ἐστίν, ἔκστασις τῆς διανοίας, καὶ τί ἐστι μανία.
παραλλαγὴ τῶν νομίμων καὶ τῶν ἐν τῷ ὑγιαίνειν ἐθῶν ἄνευ
πυρετοῦ :— τί ἐστι μελαγχολία
Μ ελαγχολία ἐστὶ πάθος, βλάπτον τὴν γνώμην μετὰ δυσθυμίας
ἰσχυρᾶς καὶ ἀποστροφῆς τῶν φιλτάτων γιγνόμενον, ἄνευ πυ-
ρετοῦ. τισὶ δὲ αὐτῶν καὶ χολὴ προσγίνεται πολλὴ μέλαινα,
ἀπεϊμάσθαι [?] βλάπτει στόμαχον, ὥστε καὶ ἀφαιμάσσεσθαι [?], καὶ οὕτω τὴν γνώ-
μην συγκακοῦσθαι :— τί ἐστι κεφαλαία
Κ εφαλαία ἐστί, πάθος πόνον κεφαλῆς ἐπιφέρον ἀνυπόστατον,
καὶ περιόδοις ἀκμάζον [?], ὥστε καὶ ἦχον εἶναι ἐν τοῖς ὠσί, καὶ
τοῖς ὀφθαλμοῖς ἐνερευθεῖς καὶ προπετεῖς ὑπάρχειν. συν-
διατείνονται δὲ αὐτοῖς καὶ αἱ ἐν μετώπῳ φλέβες καὶ ἐρεύ-
Ε θος ἀμφὶ τὸ πρόσωπον ἴσχουσι :— τί ἐστιν ἑτεροκρανία.
τεροκρανία ἐστίν, ὁπόταν περὶ τὸ ἀριστερὸν μέρος, ἢ τὸ δεξιὸν
τῆς κεφαλῆς πόνος πρέπει [?] καὶ ποτὲ μὲν ἐπιτάσεις, ποτὲ δὲ
ἀνέσεις ἐπιφέρει :— τίνες εἰσὶν οἱ σκοτωματικοί
Σ κοτωματικοὶ καλοῦνται, οἷς παρακολουθοῦσι σκοτώσεις, καὶ

δοκοῦσι περιφέρεσθαι αὐτοῖς τὴν κεφαλήν. μετὰ τοῦ καὶ μαρμα-
ρυγὰς αὐτοῖς προπίπτειν:- ἤ ἐστι καταφορά.

Κατάρρους ἐστὶν ὑγρῶν πολλῶν καταφορὰ διὰ τοῦ στόματος τῆς
ὑπερῴας πολλὴ διὰ τῶν μυξωτήρων. ὥστε σὺν τῇ ἀποκρίσει
τῶν ὑγρῶν, καὶ πνεῦμα συνεκκρινόμενον, ἦχόν τινα ἀποτελεῖν:-

Ὑδροφόβος ἐστὶ πάθος ἐπὶ δήγματι ἤ ἐστιν ὑδρόφοβος.
+ κυνὸς μαινομένου γινόμενον καθ' ὃ καὶ ἀποστρέφεσθαι τὸ ποτὸν
καὶ σπᾶσθαι, καὶ συνεκλύεσθαι. γίνεται δὲ αὐτοῖς καὶ παρακοπή:-

Βούλιμος ἐστὶ διάθεσις, καθ' ἣν ἐπιζη- ἤ ἐστι βούλιμος.
τήσεις ἐκ μικρῶν διαλειμμάτων γίνεται τροφῆς. ἐκλύονται δὲ καὶ
καταπίπτουσι, καὶ ἀχροοῦσι, καὶ καταψύχονται τὰ ἄκρα. θλίβονται
τε τὸν στόμαχον, καὶ σφυγμὸς ἐπ' αὐτῶν ἀμυδρὸς γίνεται:-

Φαγέδαινά ἐστι κατασκευή, καθ' ἣν ἤ ἐστι φαγέδαινα.
ὀρεγόμενοι πολλῆς τροφῆς, καὶ λαμβάνοντες ἄμετρον, οὐ κρατοῦ-
σιν ~~αὐτὴν~~ αὐτῆς, ἀλλ' ἐξεμέσαντες, πάλιν ὀρέγονται:-

Φθίσις ἐστὶν ἕλκωσις τοῦ πνεύμονος, ἢ θώρα- ἤ ἐστι φθίσις
κος, ἢ φάρυγγος. ὥστε βῆχα παρακολουθεῖν. καὶ πυρετοὺς
βληχρούς, καὶ ~~συντήκεσθαι~~ συντήκεσθαι τὸ σῶμα:- ἡ διαφορὰ
φθίσις μὲν γάρ ἐστιν, ἡ λεγομένη κοινῶς φθίσις καὶ φθόη.
πᾶσα μείωσίς τε καὶ σύντηξις. φθόη δέ, ἡ ἰδίως ἐφ' ἑλκώσει
σύντηξίς τε καὶ μείωσις τοῦ σώματος. εἴρηται δὲ φθίσις,
ἀπὸ τοῦ φθίνειν ὅπερ ἐστὶ μειοῦσθαι:- ἤγουν τί οἱ δυσπνοικοί.

Δυσπνοικοί εἰσιν, ἐφ' ὧν ὅσον δὴ στενοχωρούμενον ἐκπνεῖται
τὸ πνεῦμα:- ἤ ἐστιν ἆσθμα.

Ἆσθμά ἐστι πάθος ἐπιτεταμένην ἰσχυρὰν περὶ τὴν ἀναπνοὴν καὶ
δύσπνοιαν ἐπιφέρον, μετὰ τοῦ καὶ συχνῶς ἀναγκάζειν καὶ
ἐξίστασθαι:- ἤγουν τίνες εἰσὶν οἱ ἡπατικοί

Ἡπατικοί εἰσιν, οἷς ὑπὸ ἥπατος πόνος παρακολουθεῖ χρόνιος. μετ'
ἐρυθήματος, καὶ σκληρίας καὶ ὄγκοι τοῦ σώματος ἐπὶ πυρετο-

\+ σοις δὲ περικαῆ πυρετὸν, καὶ ἡ γλῶσσα αὐτοῖς ἐπιξηραίνει :—
Σκιρρούμενον ἧπάρ ἐστιν. ποῖον ἐστὶ τὸ σκιρρούμενον ἧπαρ.
ὅταν ὄγκος ᾖ περὶ αὐτὸ σκληρὸς καὶ ἀντίτυπος πρὸς τὴν
ἁφὴν. καὶ ἀνώδυνος :— τίνες εἰσὶν οἱ σπληνικοί
Σπληνικοί εἰσιν, ὅσοι φλεγμήναντες οἱ σπλῆνες εἰς τὸ κατὰ φύσιν,
οὐκ ἀποκατέστησαν, οὐδ' ἀποφλεγ~~μαίνουσιν~~μαίνουσιν, ἀλλ'
αὐτοῖς παραμένει ἡ σκληρία, ὥσπερ καὶ ἐπὶ τὰς νόσους ῥευματί-
ζεται. ἀλλάσσεται δὲ αὐτοῖς καὶ ἡ κατὰ φύσιν χροὰ τοῦ σώματος :—
Σκίρρος ἐστὶ τοῦ σπληνὸς, ὅταν τί ἐστι σκίρρος σπληνός
μείζων ὁ σπλὴν ὑποπίπτῃ, καὶ λίαν σκληρὸς καὶ διωγκωμένος :—
Διάρροιά ἐστι, ῥευματισμὸς πλείων τί ἐστι διάρροια.
κοιλίας, ἄνευ φλεγμονῆς καὶ ἑλκώσεως πολυχρόνιος :—
Κοιλιακὴ διάθεσίς ἐστι, ῥευμα- τί ἐστι κοιλιακὴ διάθεσις
τισμὸς κοιλίας, οὐ πρόσφατος, ἀλλὰ χρόνιος, μετὰ στρόφων,
καὶ πολλῶν ἀποκρίσεων, μετὰ τοῦ ἰσχναίνεσθαι τὸ σῶμα :—
Δυσεντερία ἐστιν, ἕλκωσις ἐντέρων τί ἐστι δυσεντερία
μετὰ φλεγμονῆς καὶ ἀποκρίσεως αἱματωδῶν, ἢ ξυσματωδῶν,
ὅτε δὲ καὶ ἀπολυμάτων μετὰ τοῦ δάκνεσθαι, καὶ ἀλγεῖν τὴν κοι-
λίαν καὶ τὰ ἔντερα :— τί ἐστι τεινεσμός
Τεινεσμός ἐστι διάθεσις περὶ τοῖς κάτω μέρεσι καὶ αὐτοῦ
τοῦ ἀπευθυσμένου, ὥστε πολλὰς μὲν τὰς ἐξαναστάσεις καὶ προ-
θυμίας γίνεσθαι. ὀλίγας δὲ τὰς ἀποκρίσεις :— τί ἐστι λειεντερία
Λειεντερία ἐστὶ πάθος ἐπὶ δυσεντερίᾳ τὰ καὶ ἄλλα αὐτῆς
πολλὰ γινόμενον, ὥστε διὰ τὰς οὐλὰς ἐπὶ ταῖς ἑλκώσεσι
γεγενημένας, πυκνοτέρων, καὶ λειοτέρων, καὶ ἀπονωτέρων γε-
νομένων ἀνάγκη πρὸ τοῦ ~~που~~ πεφθῆναι διεξέρχεσθαι λαμβα-
νόμενα σιτία, ἐπὶ τὰς ἐκκρίσεις ἀμιγῆ· ἄπεπτα ὅσα κατεπόθη :—
Κοιλιακὴ διάθεσίς ἐστι, καταπόσις τί ἐστι κοιλιακὴ διάθεσις
χρόνιος περὶ ~~τὸν~~ τὸ κῶλον, μετὰ τοῦ εἰς διάλειμμα ἀλγήμα-
τα ἐπιγίνεσθαι ἀνυπόστατα, καὶ δυσπνοιῶν, καὶ ἐφιδρώσ.

καὶ περιττὰ ὑγραίνεται :— περὶ ὑδρώπων. τίς ὁ ἀνὰ σάρκα ὕδρωψ
Ὕδρωψ ἐστὶν ὁ ἀνὰ σάρκα, ἐφ' οὗ τὸ σῶμα ὅλον ἐξοιδίσκει, καὶ
περιπλύζεται τὸ ὑγρόν. διαστρέφεται δ' αὐτῶν καὶ τὰ αἰδοῖα.
καὶ ἀνορεκτοῦσι. πυρέττουσι δ' αὐτοῖς, καὶ πυρετός :— τίς ἀσκίτης ὕδρωψ
Ὕδρωψ ἀσκίτης ἐστίν, ἐφ' οὗ κοιλία καὶ ὄσχεον, καὶ σκέλη, ἐξ-
οιδίσκει. τὰ δ' ἄνω, ἰσχνὰ γίνεται. ἀπολεπτυνόμενα :— τίς ὕδρωψ
Ὕδρωψ τυμπανίας ἐστὶν ἐφ' οὗ πλεονάζει τὸ πνεῦ- τυμπανίας·
μα, ὀλιγώτερον ἢ τὸ ὑγρὸν ἐμφαίνει, καὶ ἡ ἂν τείνεται, ἦχος ἀπο-
τελεῖται :— περὶ νεφρῶν. τί ἐστι νεφρῖτις·
Νεφρῖτίς ἐστι φλεγμονὴ νεφρῶν μετ' ἀλγήματος σφοδροῦ ποτὲ
δὲ καὶ δυσουρίας καὶ ἰνωδῶν ἀποκρίσεων. ἢ ψαμμωδῶν ἢ μετ'
αἵματος ὀλίγου :— τί ἐστι λιθίασις·
Λιθίασίς ἐστι γένεσις ἐν κύστει λίθου. δι' ὧν [struck] κωλύεται ἡ τοῦ
οὔρου ἔκκρισις. ἑτέρως. λιθίασίς ἐστι πάθος διὰ τάσεως τῆς
κύστεως ἐπιφερόμενον. συμβαίνει γὰρ αὐτοῖς, καὶ ἧττον, καὶ τῆς πό-
[struck]σθησις ἄπλου τε φαρμακά. ἐπιγίνονται δ' αὐτοῖς, καὶ ἰσχουρίαι.
ὅταν προσπαγῇ ὁ λίθος, ἀποφράξῃ τὰς ὁδοὺς τοῦ περιπλώματος :—
Στραγγουρία ἐστίν, ἡ κατὰ στράγγα τοῦ τί ἐστι στραγγουρία·
οὔρου ἔκκρισις :— τί ἐστιν ἰσχουρία
Ἰσχουρία ἐστὶ παντελὴς τοῦ οὔρου ἐπίσχεσις κίνδυνον ἐπιφέρουσα :—
Ἐπέχεται τὸ οὖρον καθ' τρόπους Lκγ' πόσοις τρόποις ἐπέχεται τὸ οὖρον.
σκληρά. διὰ φλεγμονήν. διὰ σκίρρον. δι' αἵματος θρόμβωσιν.
διὰ παράλυσιν. διὰ πρόπτωσιν λίθου. διὰ νευρικὴν συμπά-
θειαν. δι' ἕλκωσιν. διὰ λιθίασιν :— πῶς γίνονται λίθοι ἐν νεφροῖς·
Ἐν νεφροῖς γεννῶνται λίθοι, ἔνθα κατ' ἐκείνων τῶν σωμάτων
πλῆθος συνέλθῃ χυμῶν παχέων. ἅμα πυρετώδει θερμότητι :—
Γονόρροιά ἐστιν, ἀπόκρισις ἐπιφέρουσα τί ἐστι γονόρροια
σπέρματος νόσημα, μεθ' οὗ ἐκκέκαυται τὸ σῶμα, καὶ ἀχρούστερον
ἀποτελεῖται :— τίς ἐστιν αἰτία γονορροίας.
Γίνεται διὰ τὸ ἰσχνότερα τῶν σπερματικῶν ἀγγείων, ὥστε τρόποι τινί

ἐπιθυμοῦσιν αὐτῶν, καὶ κρατεῖσθαι τὸ σπέρμα :— ἡ ἐστι σατυρίασις.
Σατυρίασίς ἐστι, πάθος μετ' ἐντάσεως αἰδοίου γιγνόμενον καὶ
τοῦ τείνεσθαι αὐτοῖς τὰ μόρια, ἔστι δ' οἷς καὶ σπέρματος ἐξακον-
τισμὸς μετὰ ἡδονῆς γίγνεται. παραφέρονται δὲ τῇ γνώμῃ, καὶ
νεύρων ~~...~~ τάσις καὶ σπέρματος γίνεται :— ἡ ἐστιν ἰσχιάς.
Ἰσχιάς ἐστι πολυχρόνιον, καὶ δύσλυτον τοῦ ἰσχίου ἄλγημα. ἢ
οὕτως. ἰσχιάς ἐστι νόσος, πόνον ἰσχυρὸν ἐπιφέρουσα ἰσχίου καὶ
περιόδον. ὥστε αὐτοῖς τὸν πόνον καὶ μέχρι γνύας καὶ γαστροκ-
νημίας παρακολουθεῖν :— ἡ ἐστιν ἀρθρῖτις.
Ἀρθρῖτίς ἐστι φλεγμονὴ συνισταμένη περὶ τοῖς ἄρθροις ἐμ-
μονος πόνον ἰσχυρὸν ἐπιφέρουσα παχόντων ~~καὶ~~ νεύρων :—
Ποδάγρα ἐστι πάθος περὶ τοῖς ποσὶ ἡ ἐστι ποδάγρα,
γιγνόμενον, πόνον ἐπιφέρον παχόντων τῶν νεύρων. οἷς μὲν
τὰ μάλιστα πυρώσεως, οἷς δὲ μὴ αὔξεως :— ἡ ἐστι παράλυσις.
Παράλυσίς ἐστι πάθος βλάπτον τὴν προαιρετικὴν κίνησιν περὶ
μέρεσιν, ἢ μέρει τινὶ γιγνόμενον. ~~..~~ ἀποτελεῖται δὲ παχόν-
των τῶν νεύρων, καὶ τῶν μυῶν :— ἡ ἐστι σκελοτύρβη.
Σκελοτύρβη ἐστιν εἶδος παραλύσεως. ὥστε περιπατεῖν ἐπ' εὐθὺ
μὴ δύνασθαι, καὶ ποτὲ μὲν κατ' εὐθύ. ποτὲ δὲ τὸ εὐώνυμον
εἰς τὰ δεξιὰ περιφέρειν. ἢ τὸ δεξιὸν εἰς τὰ ἀριστερά. καὶ ποτὲ
μὲν ἐπισύρειν τὸ σκέλος, ὥσπερ οἱ ἀναβαίνοντες τὰ μεγάλα :—
Πύρωσίς ἐστι, στέρησις. ἢ ἐμποδισμὸς ἡ ἐστι πύρωσις
ἐνεργείας φυσικῆς, ἢ ἀφαίρεσις τινὸς μορίου :— ἡ ἐστι λέπρα
Λέπρα ἐστι μεταβολὴ τοῦ χρωτὸς ἐπὶ τὸ παρὰ φύσιν, μετὰ τοῦ τρα-
χύτητος καὶ κνησμῶν, καὶ πόνων, καὶ λεπίδας ἀποπίπτειν, ἔσθ' ὅτε
μὲν καὶ οὔ, ἔσθ' ὅτε δὲ καὶ ἐπινέμεσθαι πλείονα μέρη τοῦ σώματος :—
Ἐλέφας ἐστι πάθος παχὺ καὶ ~~...~~ ἡ ἐστιν ἐλέφας.
ἀνώμαλον, καὶ παρασκευάζον, καὶ πελιδνοῦν τὸ χρῶμα, καὶ τὰ
λευκὰ τῶν ὀφθαλμῶν ἀναβιβρώσκει δὲ χειλῶν καὶ ποδῶν τὰ

Λ ἄκρα, καὶ ἰσχύρα ἀφίησι πελιδνὸν καὶ δυσώδη:— τί ἐστι λειχήν·
ειχήν ἐστι τραχύτης ἐπιφανείας μετὰ πολλοῦ κνησμοῦ:— περὶ ἀναλόγων μερῶν τῆς ἰατρικῆς

Τὰ ἀνάλογα μέρη τῆς ἰατρικῆς ἐστὶ δύο, θε- ωρία καὶ πρᾶξις προηγεῖται δὲ τῆς πράξεως ἡ θεωρία· ~~θεωρ~~ θεωρῆσαι γὰρ δεῖ πρότερον χρή· ἔπειθ' οὕτω πρᾶξαι ἔχει γὰρ τῆς ἐπὶ τῶν ἔργων εὐθὺς ἡ διὰ τοῦ λόγου διδασκαλία:— εἴδη διαιρέσεως τῆς ἰατρικῆς

Γένη τῆς ἰατρικῆς, ἃ καὶ εἴδη τινὲς ἐκάλεσαν, ἐστὶ πέντε· φυσιολογικόν· παθογνωμονικόν· διαιτητικόν· ὑλικόν· θεραπευτικόν:— τί ἐστι φυσιολογικόν

Φυσιολογικὸν μὲν οὖν ἐστι, τὸ περὶ τὴν θεωρίαν τῆς διοικούσης ἡμᾶς, καὶ οἰκονομούσης φύσεως γινόμενον:— τί ἐστι παθολογικόν·

Παθολογικὸν ἐστι, τὸ ὑπὸ τὴν διάγνωσιν τοῦ παρὰ φύσιν ὄν:— τί ἐστι διαιτητικόν

Διαιτητικόν ἐστι, τὸ περὶ τὰς διαίτας, τῶν τε ὑγιαινόντων, καὶ τῶν νοσούντων:— τί ἐστιν ὑλικόν·

Ὑλικὸν ἐστι, τὸ περὶ τὴν ἰωμένην τὸ σῶμα εἰδῶν ὕλην ἔχον:— ἰωμένων — τί ἐστι θεραπευτικόν

Θεραπευτικὸν δέ, τὸ περὶ τὴν ἴασιν, καὶ ἀποκατάστασιν αὐτῆς πραγματευόμενον:—

περὶ γυναικείων παθῶν, τί ἐστι φλεγμονὴ μήτρας

Φλεγμονή ἐστιν ἐν μήτρᾳ, ἢ μετὰ πόνου γινομένη ~~ἐπιγαστρίου~~ ἐπιγαστρίου, καὶ βουβώνων, καὶ πυρετῶν· ἐφ' ἧς καὶ βρέγματος πόνος, καὶ τελχόντων [margin: τενόντων] συνολκή· καὶ ὀφθαλμῶν ὀδύνη:—

τί ἐστιν ἀπόστημα ἐν μήτρᾳ

Ἀπόστημα ἐν μήτρᾳ ἐστίν, ὅταν ἢ πόνος ~~δ~~ ἐπιτεταμένος καὶ σφύξις καὶ διατείνει τὸ ἄλγημα ἕως ἥτρου, καὶ βουβώνων καὶ ὀσφύος, καὶ πυρετοὶ προσγίνονται:—

τί ἐστιν ὑστερική πνίξ·

Ὑστερικὴ πνίξ ἐστι, πάθος δι' ἄνοδον μὲν ὑστέρας γινόμενον, καὶ πνῖξιν, καὶ ἀφωνίαν ἐπιφέρον· ὥστε καὶ τὴν ἀναπνοὴν αὐταῖς οὐκ ἔκδηλον γίνεσθαι, μετεωρίζεται τὰ ὑποχόνδρια, καὶ τὸν σφυγμὸν ἔχει ἀμυδρόν καὶ βραδύν:—

τί ἐστι ῥοῦς γυναικός

IC XC

Ῥ ρόος γυναικεῖός ἐστι, φορὰ ὑγρῶν διὰ μήτρας ἐπὶ πλείονα
χρόνον ὑπὸ τῆς ἀποκρίσεως αὐτῆς γινόμενος :— ἢ ἔστι ῥοῦς λευκός
Ῥ οῦς λευκός ἐστιν, ὅταν ἐστὶ λευκὰ ᾖ τὰ ἀποκρινόμενα καὶ
ἐν τῷ προσώπῳ οἰδήματα· καὶ τὰ ὑποφθάλμια ἐποιδοῦσιν.
ἐνίοτε δὲ καὶ ἡ γαστήρ· καὶ τὰ σκέλη :— ἢ ἔστι ῥόος πυρρός
Ῥ όος πυρρός ἐστιν, ὅταν ὑπόπυρρος ᾖ ἡ ἀπόκρισις, καὶ ὀδύναι
ἐν τῇ ὀσφύϊ, καὶ ἐν ταῖς βουβῶσι γίνονται :— ἢ ἔστιν ἐρυθρὸς
Ἐ ρυθρὸς ῥόος ἐστιν, ὅταν ᾖ τὰ ἀποκρινόμενα τοιοῦτον, οἷον, ἀπὸ
νεοσφαγοῦς ἱερείου αἷμα, καὶ θρόμβοι ἐμπίπτουσι, καὶ ὀδύνη
ἔχει, καὶ πῦρ καὶ βρυγμός, καὶ πόνος εἰς αὐτὰ τὰ αἰδοῖα, καὶ τὸ
ὑπογάστριον :— ἢ ἔστι ῥόος μέλας
Ῥ όος μέλας ἐστιν, ὅταν μέλαινα ᾖ ἀπόκρισις, καὶ δυνάστοιαι τοῦ
σώματος, καὶ ὀδύνη ᾖ εἰς τὰ αἰδοῖα, ἰσχναίνονται :— ἢ ἔστιν ἐρυσιπέ-
Ἐ ρυσιπέλας ἐν μήτρᾳ ἐστιν, ἐπειδὰν ὀδυνω- λας ἐν μήτρᾳ·
μένη ἡ ὑστέρα ὅμοια ᾖ τοῖς ἀπὸ πυρὸς καιομένοις δυσοῦ-
ποίστοις, καὶ ἡ πύρωσις ἐπ᾽ ἐνίων μεταβαίνουσα ἄλλοτε ἐπ᾽
ἄλλους τόπους τῆς ὑστέρας :— ἢ ἔστι σκλήρωμα μήτρας·
Σ κλήρωμα μήτρας ἐστιν, ὄγκος ὑπόσκληρος, περὶ τὸ μέρος
τῆς μήτρας γινόμενος τὰ πολλὰ ἐπὶ φλεγμοναῖς μενάσαις
ἐπιτελούμενος :— ἢ ἔστι σκίῤῥος ἐν μήτρᾳ·
Σ κίῤῥος ἐν μήτρᾳ ἐστί, διάθεσις περὶ τὸ μέρος αὐτῆς, ὥστε εἶναι
σκληρίαν αὐτὴν τὸ τύπον, ὀχθώδη, ἀνώμαλον ἄπονον τὰ πολλά :—
Κ αρκίνωμα ἐν μήτρᾳ ἐστιν, ἢ ἔστι καρκίνωμα ἐν μήτρᾳ·
ἄνευ ἑλκώσεως ὄγκος ἀνώμαλος ὀχθώδης :— περὶ τριχῶν.
Π άθη τριχῶν ἐστιν ἐννέα, ῥοπάλωσις· διχοφυΐα· θραῦσις
ἀτροφία· ξηρασία· πολίωσις· ῥύσις· ἀλωπεκία· ὀφίασις :—
Ῥ οπάλωσις τριχῶν ἐστι, καὶ τὸ ἄκρον. ἢ ἔστι ῥοπάλωσις τριχῶν.

τῶν τριχῶν, ἀμετρὴς χύσις μετὰ τοῦ μηκέτι συναύξεσθαι:—
ἤ ἐστι θραῦσις τριχῶν

Θραῦσις τριχῶν ἐστιν, ἀνώμαλος τριχῶν ἀπόπτωσις παραπλησία τοῖς ἀπὸ ψαλίδος κεκαρμένοις:—
ἤ ἐστιν ἀτροφία τριχῶν

Ατροφία τριχῶν ἐστιν, ὑποβάλλουσα ἰσχνότης μετὰ τοῦ μηκέτι συναύξεσθαι:—
ἤ ἐστι ξηρασία τριχῶν·

Ξηρασία τριχῶν ἐστι, χνοώδης τριχῶν ἐπιφάνεια παραπλησία ὑπὸ κονιορτοῦ μολυνομένοις:—
ἤ ἐστι πολίωσις τριχῶν·

Πολίωσις τριχῶν ἐστι, μεταβολὴ τριχῶν ἐπὶ τὸ λευκὸν πρὸ τῆς καθηκούσης ἡλικίας:—
ἤ ἐστι ῥύσις τριχῶν·

Ρύσις τριχῶν ἐστιν ἀπόπτωσις, ἀκολουθοῦσα, ὡς ἐπίπαν μετὰ τοῖς φθίνουσι, καὶ τοῖς ἀνακομιζομένοις ἐκ νόσου μακρᾶς:—
ἤ ἐστιν ἀλωπεκία·

Αλωπεκία ἐστι μεταβολὴ τοῦ χρώματος ἐπὶ τὸ λευκότερον, δι' ἣν χρῄζουσαι αἱ τρίχες, ῥιζόθεν ἀποπίπτουσι:—
ἤ ἐστιν ὀφίασις·

Οφίασις ἥ ἐστι μεταβολὴ τοῦ χρώματος ὁμοία τοῖς προειρημένοις ἐπὶ τὸ μᾶλλον πυκνότερον μετὰ τοῦ σκολιοῦσθαι τὴν ψίλωσιν:—
ποῖαι τῶν ~~[illegible]~~ ἐν κεφαλῇ παθῶν·

Διαφοραὶ τῶν ἐν κεφαλῇ παθῶν καταγμάτων, ὀκτώ· ῥωγμή· ἐγκοπή· ἐγγείσωμα· ἐκπίεσμα· καμάρωσις· ἀποσκεπαρνισμός· ἄπαγμα· θλάσμα· ἀπήχημα· ἔνιοι δὲ τὸ μὲν θλάσμα εἶναι οὐ θέλουσι· τὸ δ' ἀπήχημα τῇ ῥωγμῇ ὑπάγουσι:—
ἤ ἐστι ῥωγμή·

Ρωγμή ἐστιν, ὀστοῦ διακοπὴ ἐπιπόλαιος ἰθεῖα καὶ ἤτοι στενὴ ἢ καὶ πλατεῖα:—
ἤ ἐστιν ἐγκοπή

Εγκοπή ἐστιν, ὀστοῦ διακοπή, μετὰ τοῦ ἄκλαστον εἶναι τὸ πεπονθὸς ὀστοῦν:—
ἤ ἐστιν ἐγγείσωμα·

Εγγείσωμά ἐστιν, ὀστοῦ διακοπή, μετὰ τοῦ τὸ διακεκομμένον ἔσω τὸ βάθος ὑποκεχωρηκέναι, καὶ ὑπεληλυθέναι τοῦ ἀπαθοῦς ὀστοῦ:—
ἤ ἐστιν ἐκπίεσμα·

Ἐπίεσμα ἐστίν, ὀστοῦ πολυμερὴς διακοπή, μετὰ τοῦ τάσιν δρᾶν τῶν ὀστῶν εἰς τὸ βάθος ὑποκεχωρηκέναι καὶ θλίβειν τὴν μήνιγγα :— ἢ ἔστιν ἀποσκεπαρνισμός.

Ἀποσκεπαρνισμός ἐστιν, ὀστοῦ ἀποκοπή, μετὰ τοῦ διακεκομμένου ὀστοῦ τεθραῦσθαι :— ἢ ἔστι καμάρωσις.

Καμάρωσίς ἐστιν, ὀστοῦ διακοπή, μετὰ τοῦ τὸ ὀστοῦν ἅμα κεκλάσθαι ἐξ ἀμφοτέρων· καὶ παραπλησίως καμάρᾳ σχηματίζεσθαι :— ἢ ἔστιν ἄπαγμα.

Ἄπαγμα ἐστίν, ὀστοῦ διακοπὴ ἐπιπόλαιος, ἢ καὶ βαθεῖα· κατὰ τὰ ἀντικείμενα μέρη τοῦ τραύματος :— ἢ ἔστι θλάσμα.

Θλάσμα ἐστίν, ὑποχώρησις τοῦ κρανίου εἰς τὸ βάθος, δίχα κατάγματος· γίνεται δὲ ἐπὶ τῆς παιδικῆς μάλιστα ἡλικίας· νοήσεις δὲ σαφέστερον τὸ εἰρημένον ἐπὶ τῶν κασσιτερίνων σκευῶν τοῦτο συμβαῖνον θεασάμενος :— περὶ ὀφθαλμῶν.

Περὶ τοὺς ὀφθαλμοὺς γίνεται πάθη· φλεγμοναί· ῥεύματα· ἑλκώσεις :— τίνα ὀφθαλμῶν πάθη.

ἑλκώσεων τῶν περὶ τοὺς ὀφθαλμοὺς διαφοραί.

Ἄργεμον· νεφέλιον· ἐπίκαυμα· βόθριον· φλύκτις· λεύκωμα· ἄνθραξ· μυοκέφαλον· πύωσις· ὄνυξ· σταφύλωμα· ταῦτα μετὰ πληγῆς· τὰ δὲ ἄνευ πληγῆς· ἑλκώσεως πάθη· μυδρίασις· φθίσις· ἀτροφία· κυλλίωψ· ἀπόχυσις· γλαύκωμα· παράλυσις· μυωπίασις· στραβισμός· πτερύγιον· ἐγκανθίς· πρόπτωσις· χήμωσις· σύγχυσις :— ἢ ἔστι φλεγμονή.

Φλεγμονὴ μὲν οὖν ἐστίν, οἴδημα περὶ τοὺς ὀφθαλμοὺς μετ' ἐρυθήματος, καὶ πολλῆς θερμασίας· καὶ δυσκινησίας, καὶ νυγμάτων γινομένη :— ϋ ἢ ἔστι ῥεῦμα.

Ῥεῦμα ἐστίν, ὑγρῶν λεπτῶν φορὰ ἀκατάσχετος καὶ ἀπροαίρετος :— ἢ ἔστιν ἕλκωσις.

Ἕλκωσίς ἐστι ῥῆξις περὶ τὸν κερατοειδῆ

...ἧττον ἐκ πληγῆς, ἢ γαγγραίνης φλεγμονῆς γινομένη :— ἢ ἐστιν ἄργεμον.
Ἄργεμόν ἐστιν, ἕλκωσις περὶ μὲν τὸ μέλαν λευκὴ φαινομένη. περὶ
δὲ τὸ λευκὸν ὑπέρυθρος :— ἢ ἐστι νεφέλιον.
Νεφέλιόν ἐστιν ἀχλυώδης ἕλκωσις ἐπιπόλαιος ἐπὶ τοῦ μέλανος :—
Ἐπίκαυμά ἐστιν, ἕλκωσις ἐσχαρώδης ἢ ἐπίκαυμά ἐστι.
περὶ τὸ μέλαν ἐπινεμομένη καὶ μένουσα :— ἢ ἐστι βόθριον.
Βόθριον ἐστι, κοῖλον ἕλκος καὶ καθαρὸν ἐπὶ τοῦ μέλανος :—
Φλυκτίς ἐστιν ἀπόστασις περὶ τὸ μέλαν ἢ ἐστι φλυκτίς.
περιέχουσα ὑγρασίαν μετὰ φλεγμονῆς καὶ ῥεύματος :— ἢ ἐστι λεύ-
Λεύκωμά ἐστιν. ἀφ᾽ ἑλκώσεως οὐλὴ παχεῖα καὶ βαθεῖα :— κωμα.
Μυοκέφαλόν ἐστιν ἀφ᾽ ἑλκώσεως μι- ἢ ἐστι μυοκέφαλον.
κροτάτη ἐπέκτασις τοῦ ῥαγοειδοῦς περὶ τὸ μέλαν, παραπλη-
σία, μυίας κεφαλῇ :— ἢ ἄνθραξ ἐστιν.
Ἄνθραξ ἐστιν, ἐσχαρώδης ἕλκωσις μετὰ νομῆς καὶ ῥεύματος,
ἐνίοτε καὶ βουβώνων καὶ πυρετοῦ :— ἢ ἐστι πύωσις, ἤτοι ὄνυξ.
Πύωσις ἢ ὄνυξ ἐστι, συλλογὴ πύου περὶ τὸ μέλαν μετὰ φλεγ-
μονῆς πρὸς τὴν τῆς ἴριδος παραπλησία ὄνυχι :— ἢ ἐστι σύγχυσις.
Σύγχυσίς ἐστι, ποτὲ μὲν ἐκ πληγῆς, ποτὲ δὲ ἐξ αὐτομάτου ῥῆξις
τῶν ἐν βάθει χιτώνων μετὰ προχύσεως τῶν ὑγρῶν, καὶ ἀλλοι-
ώσεως τῆς κόρης :— ἢ ἐστι μυδρίασις.
Μυδρίασίς ἐστι, ἀμαύρωσις τοῦ ὀφθαλμοῦ, ταραχθέντων τῶν
ὑγρῶν :— ἢ ἐστι φθίσις.
Φθίσις ἐστι, μείωσις τῆς κόρης μετὰ ἀμυδρώσεως :— ἢ ἐστιν ἀτροφία.
Ἀτροφία ἐστι μικρότης ὅλου τοῦ ὀφθαλμοῦ καὶ τῆς κόρης,
μετὰ ἀμαυρώσεως :— ἢ ἐστι νυκτάλωψ.
Νυκτάλωψ ἐστι πάθος καὶ διάθεσις ὀφθαλμῶν, δι᾽ ἣν φανε-
ρὰς αὐτῆς. συμβαίνει δὲ τοῖς οὕτω διακειμένοις, κἂν ... μὲν

Γ μὴ ὁρᾶν, νυκτὸς δὲ βλέπειν :— ἢ ἔστι γλαύκωμα.
λαύκωμά ἐστι τῶν καὶ φύσιν ὑγρῶν εἰς τὸ γλαυκὸν χρῶμα
μεταβολή :— ἢ ἔστι σταφύλωμα.
Σ ταφύλωμά ἐστιν, ἔπαρμα κατὰ τὸν τῆς κόρης τόπον, ἐμφερὲς ῥ-
ῥαγὶ σταφυλῆς :— ἢ ἔστι πρόπτωσις.
Π ρόπτωσίς ἐστιν, ὅταν ὑπό τινος βιαίας πληγῆς ἢ ἀγχονισμοῦ,
καὶ συνεχοῦς πυρετοῦ, ἢ κεφαλαλγίας, ὀφθαλμὸς προσπέσῃ :—
Μ υωπίασίς ἐστι διάθεσις ἐκ γενετῆς, ἢ ἔστι μυωπίασις.
δι᾿ ἣν τὰ μὲν πλησίον ὁρῶμεν, τὰ δὲ πόρρωθεν, ἢ ἐπὶ βραχύ,
ἢ οὐδ᾿ ὅλως :— ἢ ἔστι στραβισμός.
Σ τραβισμός ἐστι παράλυσις τῶν περὶ τὸν ὀφθαλμὸν μυῶν οὐ
δι᾿ ὅλων, ἀλλ᾿ ἐνίων δι᾿ ἣν αἰτίαν, ἢ ἄνω ἢ κάτω, ἢ εἰς τὰ
πλάγια νεύουσιν οἱ ὀφθαλμοί :— ἢ ἔστιν ἵππος ὀφθαλμοῦ.
Ἵ ππος ὀφθαλμοῦ ἐστι, διάθεσις ἐκ γενετῆς, καθ᾿ ἣν ἀτακτοῦ- +
σιν οἱ ὀφθαλμοί, κίνησιν ὑπομένοντος, ἐν ζόφῳ καὶ πλό-
νῳ, ἀδιαλείπτως καθεστηκότα ταύτην τὴν διάθεσιν Ἱπ-
ποκράτης ἐκάλεσεν ἵππον τὸ δὲ πάθος τοῦ σκιρίζοντός ἐστι τὸν
ὀφθαλμὸν μυός, ὥσπερ ἔληψε τὴν βάσιν τοῦ λεπτίμου ὀργάνου :—
Χ ήμωσίς ἐστιν, ἔπαρμα τοῦ περιοφ- ἢ ἔστι χήμωσις.
θαλμίου ὑμένος. ὃ καὶ λευκὸν προσαγορεύεται πάθος.
ὅμοιον λευκῇ σαρκί :— τίνα καὶ πόσα περὶ τὰ βλέφαρα καὶ
Π ερὶ τὰ βλέφαρα καὶ τοὺς κανθοὺς τοὺς κανθοὺς πάθη.
συνίσταται πάθη ταῦτα. ψώρα. φθειρίασις. κριθή. χάλαζα.
λιθίασις. τριχίασις. τράχωμα. λαγόφθαλμον, ἐκτρόπιον
ῥοιάς. αἰγίλωψ. σταφύλωμα :— ἢ ἔστι ψώρα ὀφθαλμοῦ.
Ψ ώρα ὀφθαλμοῦ ἐστιν, ὑπὸ δριμυτάτου ῥεύματος γινο-
μένη ἀνάβρωσις ταρσῶν ἢ κανθῶν καὶ κνισμοῦ :—
ἢ ἔστι φθειρίασις ὀφθαλμῶν

Φθειρίασις ὀφθαλμοῦ ἐστι, περὶ τὰς ῥίζας τῶν βλεφαρίδων φθεῖρας, λεπίδας πιτυρώδεις ἀποβάλλουσα :— ἢ ἐστι χάλαζα καὶ λιθίασις.

Χάλαζα ἐστι κεγχρώδης συστροφὴ καὶ τοῦ βλεφάρου· καὶ λιθίασις τὸ αὐτό :— ἢ ἐστι κριθή.

Κριθή ἐστιν ὑγροῦ συλλογὴ περὶ τὸ βλέφαρον ἐπιμήκης κριθῇ ὁμοία :— ἢ ἐστι τράχωμα

Τράχωμά ἐστιν σκληρία καὶ τραχύτης ἀνώμαλος καὶ τὰ ἔνδον τῶν βλεφάρων γιγνόμενος :— ἢ ἐστι ῥοιάς.

Ῥοιάς ἐστι τῆς ἐπικανθίνου σαρκὸς δαπάνη, δι' ἣν τὸ δάκρυον ἀπορρεῖ :— ἢ ἐστι τριχίασις.

Τριχίασίς ἐστι βλεφάρων πτῶσις ἢ τῶν ἐν αὐτοῖς τριχῶν γένεσις παρὰ φύσιν :— πόσαι διαφοραὶ τριχιάσεως.

Διαφοραὶ τριχιάσεως τρεῖς· φαλάγγωσις· πτῶσις· ὑπόφυσις· τινὲς δὲ καὶ τὴν διστιχίαν ἐπιφέρουσι :— ἢ ἐστι διστιχία.

Διστιχία ἐστὶν ἑτέρου στίχου παρὰ φύσιν καὶ τοῦ ταρσοῦ ἔκφυσις :— ἢ ἐστιν ἐγκανθίς.

Ἐγκανθίς ἐστιν ὑπεροχὴ σαρκὸς τοῦ μεγάλου κανθοῦ, ὑγροῦ συλλογὴν ἔχουσα σὺν ἕλκος, ἢ συνεζευγμένη· εἴρηται δὲ αἰγίλωψ, ἀπὸ τῶν αἰγῶν, ἐπειδὴ περὶ τοὺς κανθοὺς ἐπανάστασιν ἐστιν ἔχουσα :— ἢ ἐστιν αἰγίλωψ.

Αἰγίλωψ ἐστὶν ἐπανάστασις ἐγγὺς ὀφθαλμοῦ ὑγροῦ συλλογὴν καὶ αὐτὴ ἔχουσα σὺν ἕλκος, ἢ συνεζευγμένη· εἴρηται αἰγίλωψ ἀπὸ τοῦ ἐγγὺς εἶναι τοῦ ὀφθαλμοῦ. λὼψ μὲν γάρ ἐστιν ὁ ὀφθαλμός, τὸ δὲ αἰγι· ἐγγύς :— ἢ ἐστιν ὑπόχυμα.

Ὑπόχυμά ἐστιν ὑγροῦ πῆξις τοῦ ὑδατώδους μᾶλλον, ἧττον ἐμποδίζουσα τὸ ὁρᾶν. διαφέρει δὲ ὑπόχυμα γλαυκώματος. ὅτι τὸ μὲν ὑπόχυμα πῆξίς ἐστι τοῦ ὑδατώδους ὑγροῦ. τὸ δὲ γλαύκωμα μεταβολή ἐστι καὶ φύσιν ὑγρῶν ἐπὶ τὸ γλαυκόν. καὶ ὅτι ἐπὶ μὲν τοῦ γλαυκώματος οὐδ᾽ ὅλως ὁρῶσιν, ἐπὶ δὲ

τοῦ ὑποχύματος, κατ᾽ ὀλίγον :— ἡ ἐστιν ὑδατίς
Ὑδατίς ἐστι τῆς ὑπεστρωμένης τοῦ ἀναβλεφάρου πιμελῆς
αὔξησις· δι᾽ ἣν ῥευματίζονται παρὰ φύσιν οἱ ὀφθαλμοί :—
Λαγωφθαλμοῦ ἐστιν ἀνάτασις ἡ ἐστι λαγωφθαλμος·
τοῦ ἀναβλεφάρου πιμελῆς αὔξησις, δι᾽ ἣν ῥευματίζονται
παρὰ φύσιν οἱ ὀφθαλμοί :— ἡ ἐστι πτερύγιον·
Πτερύγιόν ἐστιν ἔκφυσις σώματος ἐπιφυομένη τοῦ κανθοῦ :—
Ἐκτρόπιόν ἐστιν ἀπόφυσις σαρκὸς ἡ ἐστιν ἐκτρόπιον
ἐν τῷ βλεφάρῳ· ἥτις βαροῦσα, ἐκστρέφει τὸ βλέφαρον·
ἤγουν ἡ ἐκτροπὴ βλεφάρου, ἡ σαρκὸς ἐπίφυσις· ἢ παράλυσις·
ἢ οὐλῆς σύστασις :— ἡ ἐστι μιλφῶσις·
Μιλφωσίς ἐστιν ἀπὸ δριμυτάτου ῥεύματος ἀπόπτωσις τῶν
βλεφάρων :— ἡ ἐστι σταφύλωμα·
Σταφύλωμά ἐστιν ἔκτασις τοῦ μέλανος χιτῶνος καὶ πηρώσε-
ως· ὁμοία σταφυλῆς ῥαγί :— ἡ ἐστι σύκωμα
Σύκωμά ἐστι, σαρκὸς ἐν τοῖς μυκτῆρσι παρὰ φύσιν αὔξησις :—
Ἕρπηται ἢ πολύπους, ἀπὸ τῶν ἡ ἐστι σύκωμα ἤτοι πολύπους
πολυπόδων, ὥσπερ ἐκεῖνοι πολλὰς ἔχουσιν ἀποφυάδας, πλα-
δαροί τε ὄντες, καὶ αὐξανόμενοι, οὕτω καὶ τοῦτο πάθος :—
Διαφέρει σύκωμα πολύ- ἢν διαφορά σύκωμα πολύπου·
που, μαλακόν, καὶ καλασσοῦν :— ἡ ἐστιν ὄζαινα·
Ὄζαινά ἐστιν ἕλκωσις ἐν μυκτῆρσι διὰ βάθους δυσώδη τὴν ἀπο-
φορὰν ἔχουσα :— ἡ ἐστι παρωτίς·
Παρωτίδες εἰσί, παρὰ τοῖς ὠσὶν ἀποστήματα· ταῦτα δ᾽ ἔνιοι,
διοσκόρους ἐκάλεσαν· ἐπὶ πυρετοῖς γιγνόμενα· τὰ πολλὰ
τῶν πυρετῶν ~~ἀπαλλάσσουσαι~~ ἀπαλλαάσουσαι :— ἡ ἐστι λευκή
Λευκή ἐστιν, ἡ ἐπὶ τὸ λευκὸν χρῶμα τοῦ σώματος, παρὰ φύ-
σιν μεταβολή :— ἡ ἐστιν ἕρπης·

Ἕρπης ἐστὶν ἕλκος ἐπὶ πλεονεξίᾳ χολῆς γινόμενον, καὶ ἐπινέ-
ἤ ἐστιν ἀθέρωμα.
μησιν ποιούμενον:—
Ἀθέρωμά ἐστι χιτὼν νευρώδης, ἀθερῶδες ὑγρὸν περιέχον:—
ἤ ἐστι στεάτωμα.
Στεάτωμά ἐστι, παρὰ φύσιν πιμε-
ἤ ἐστι πρόσφυσις.
λῆς συναύξησις:—
Πρόσφυσίς ἐστι, ὑμένων μακροτέρων ἀντίληψις πρὸς τὰ παρακεί-
ἤ ἐστι ἀνεύρυσμα.
μενα σώματα:—
Ἀνεύρυσμά ἐστι, φλεβῶδες ἀγγείου ἀνευρυσμός, ἢ πνευματικῆς
ὕλης διασπορὰ ἀπὸ τῆς σαρκὸς καὶ πίδυσιν ἀναδιδομένης:—
ἤ ἐστιν ὑπόσφαγμα.
Ὑπόσφαγμά ἐστιν ἔξωθεν τῆς ἐπιφα-
ἤ ἐστι γάγγλιον
(ὠμηλύσου) νείας ὠμελίῃ παραπλήσιον:—
Γάγγλιόν ἐστι, νεύρου παρὰ φύσιν συστροφὴ σωματοπεποιημένη:—
ἤ ἐστιν ἄφθα
Ἄφθα ἐστὶν ἕλκωσις ἐπιπόλαιος ἐν στόματι
γινομένη· ἐπιπολάζει ἡ αὐτὴ ἡ ἕλκωσις, μάλιστα παιδίοις:—
ἤ ἐστι φλεγμονή.
Φλεγμονή ἐστιν ὄγκος μετ᾽ ἐρυθήμα-
τος, καὶ σκληρὶ πόνους, ἐπιφέρων σφυγμώδεις καὶ πυρετώ-
δεις. εἴρηται ἡ φλεγμονή, ἀπὸ τοῦ οἷον φλέγεσθαι τὸν τόπον.
Ἢ ὄγκος ὀδυνηρὸς καὶ ἀντίτυπος μετ᾽ ἐρυθήματος, χωρὶς πυρετοῦ:—
ἤ ἐστιν ἐρυσίπελας.
Ἐρυσίπελάς ἐστιν ἔρευθος διάπυρον,
μετὰ φλογώσεως, ἔσθ᾽ ὅτε πυρετοὺς καὶ φρίκας ἐπιφέρον:—
Ὅτι τὸ μέζον τῆς φλεβοτομίας, ἡ δύναμίς ἐστι τοῦ κάμνοντος. εἰς
ταύτην γὰρ ἀποβλέποντες τὰ αὐτάρκη εἶναι νομιζόμεθα. κε-
νοῦμεν δὲ, ἢ διὰ φλεβοτομίας, ἢ σικύας, ἢ βδέλλης, καὶ τῶν
τοιούτων. ἀφαιροῦμεν δὲ αἷμα διὰ πλῆθος ~~πολὺ~~ πολύ, καὶ μά-
λιστα ὅταν τὸ αἷμα αἴτιον τοῦ πάθους ὑπονοῶμεν:—
ποτὲ προαιρετέον φλεβοτομίαν
Προαιρετέον φλεβοτομίαν, ἐπ᾽ ἀρχῆς
ἀφαιρέσεως τῶν ἀμείνονα. τὴν δὲ δευτέραν ἐκπλείονας δέον φυ-
μακον

Τ ιὼν σικύων, διὰ περίθλασιν τοπικήν :— πόλε σικύων.
Τ ιῶν ἢ βδελλῶν, ἐφ᾽ ὧν λεπτῶς πόλε τῆς διαβδέλλης κένωσιν.
Σ ἀνασπᾶσθαι τὸν πεπονθότα σώματα τόπον :— ἢ ἐστι σκίῤῥος
Σκίῤῥος ἐστιν, ὄγκος σωμάτων μετὰ σκληρίας, καὶ βάρους, καὶ δυσκινησίας καὶ δυσαισθησίας :— ἢ ἐστιν ἀπόστημα.
Ἀπόστημά ἐστι μεταβολὴ σωμάτων ἐκ φλεγμονῆς εἰς πύον :—
Κολόβωμά ἐστιν, ἔκλειψις μορίου, ἢ ἐστι κολόβωμα.
καὶ ἡ μέρος τοῦ σώματος :— ἢ ἐστι πῶρος. ἢ ἐστιν ὑδροκέφαλον.
Πῶρος ἐστὶν οὐσία λιθώδης καὶ ἀπόκριτος :—
Ὑδροκέφαλόν ἐστιν, ὑδατώδους ὑγροῦ, ἢ αἵματος ξυγκοδοῦς συλλογὴ καὶ ἡ μέρος, τῶν τῆς κεφαλῆς πλεκόντων σωμάτων :—
Σύριγξ ἐστιν ἀποφορὰ τυλώδης, στενή τε ἢ ἐστι σύριγξ.
καὶ ἐπιμήκης. ἔστι δὲ καὶ ἐσκολιωμένη, ἀναπόλωτον ἔχουσα τὸ στόμιον. διὸ ὑγρὸν κατὰ τινας καιροὺς ἐκκρίνει λεπτόν :—
Κηρίον ἐστὶν ἕλκος συνεχὲς ἔχον κατατρήσεις, ἐξ ὧν μελιτῶδες ὑγρὸν ἐκκρίνεται :— ἢ ἐστι κηρίον. ἢ ἐστι φαγέδαινα.
Φαγέδαινά ἐστιν ἕλκος ἀναβιβρώσκον τὰ ὑγιῆ καὶ περικείμενα :—
Καρκίνωμά ἐστιν, ὄγκος κακοήθης περίσκληρος, ἀνελκώτος, ἢ ἡλκωμένος. ὠνόμασται δὲ ἀπὸ τοῦ ζώου τοῦ καρκίνου :— ἢ ἐστι καρκίνωμα. ἥτοι ἐστὶ διονυσίσκοι.
Διονυσίσκοι εἰσὶν ὀστώδεις ὑπεροχαὶ ἐγγὺς κροτάφων γινόμεναι. λέγονται δὲ καὶ κέρατα ἀπὸ τῶν κερασφορούντων ζώων κεκλημένα :— ἢ ἐστι τερηδών.
Τερηδών ἐστι, ὀστοῦ καταβρωσις ἀπὸ φθορᾶς. τὸ δ᾽ ὄνομα τοῦ πάθους ἀπὸ τῶν συμβεβηκότων ξύλοις, οἷον ὑπό τις ξυλοφάγου :— ἢ ἐστιν ἀδὴν
Ἀδήν ἐστι, συστροφή τις ξηρὰ καὶ σαρκώδης, ἢ συστροφὴ σαρκώδης :— ἢ ἐστι χοιράς.
Χοιράς ἐστι σὰρξ σκληρὰ, καὶ δύσλυτος :— ἢ ἐστι βρογχοκήλη.

Βρογχοκήλη ἐστὶν ὄγκος παρὰ τὸ βρόγχον διαφορὰν ἔχων παρὰ
τὴν ἐν τῷ ὀσχέῳ κατασκευήν:— ἥ ἐστιν ἀγκύλη.
Ἀγκύλη ἐστὶ πῆξις περὶ τὸν τράχηλον, ἢ τὰ ἄρθρα γενομένη,
δι' ἣν ἐμποδίζεται ἡ ἐνέργεια:— ἥ ἐστιν ἐξόμφαλος
Ἐξόμφαλός ἐστιν ὑπεροχὴ ὀμφαλοῦ· ὑπὸ διαφόρους αἰτίας
γινομένη:— ἥ ἐστι γυναικομαστον
Γυναικομαστόν ἐστι, παρὰ φύσιν αὔξησις τῶν ὑποκειμένων τοῖς
μαστοῖς πιμελῆς:— ἥ ἐστιν ἐγκαταλήπτη ἀπόσκημα.
Ἐγκαταλήπτη ἀπόσκημά ἐστι, τῶν ἐμβαλόντων σωμάτων, ἢ φλεγ-
μονῶν, ἢς πυὸν τῆς μεταβολῆς γινομένης:— ἥ ἐστιν ἀκροχορδὼν
Ἀκροχορδών ἐστι, ἔκφυσις περιφερής, ἢ διάστενον ἔχουσα βάσιν:—
Φύγεθλον ἐστι, ἡ βουβῶνα γινόμενον ἀπόστημα:— ἥ ἐστι φύγεθλον.
Ἐπιπλοόμφαλον ἐστιν ἀπόδρο- ἥ ἐστιν ἐπιπλοόμφαλον.
μὴ ἐπίπλου κατὰ τὸν ὀμφαλόν:— ἥ ἐστιν ὑδρόμφαλον.
Ὑδρόμφαλόν ἐστι ὑγροῦ σύστασις κατὰ τὸν ὀμφαλόν, ποτὲ ἢ καὶ ὑπὸ
γίλαδνος ζωνεζόμενον:— ἥ ἐστι παρόμφαλον.
Παρόμφαλόν ἐστι, πώρου σύστασις κατὰ τὸν ὀμφαλόν:— ἥ ἐστι σαρ-
Σαρκόμφαλόν ἐστι, σαρκὸς παρὰ φύσιν αὔξησις κόμφαλον
κατ' ὀμφαλόν, ἢ τοῖς μέρεσι, ἢ κακοήθους:— ἥ ἐστι πνευματόμφαλον.
Πνευματόμφαλον ἥ ἐστι, τὸ ἀνεύρυσμα τοῦ ὀμφαλοῦ:— ἥ ἐστι ὑπασπαδ.
Ὑπασπαδίας ἐστὶ πάθος ἐφ' οὗ ἡ βάλανος ἐκθλίψεται:— ἥ ἐστι θύμος.
Θύμος ἐστιν, ἔκφυσις σαρκὸς τραχέας ὅμοια περὶ αἰδοῖον καὶ
ἕδραν γινομένη:— ἥ ἐστι λιπόδερμος.
Λιπόδερμός ἐστιν ἔλλειψις τοῦ σκέποντος τὴν βάλανον δέρματος,
ὥστε μηκέτι ἀποσυρεῖν δύνασθαι:— πόσαι διαφοραὶ φίμωσ.
Διαφοραὶ τοῦ φιμ. δύο· ἡ μὲν ἐκφύσεως, ἡ ἐξ ἐπιγεννήματος
ἐλκώσεως προηγησαμένης γίνεται:— ἥ ἐστι ῥαγάς.

Ῥαγάς ἐστι, διαίρεσις τετυλωμένα ἔχουσα τὰ χείλη :— τί ἐστι περι-
Περιφίμωσίς ἐστιν, ἀπὸ ῥεύματος τοῦ τῆς ἐπιφίμωσις.
βαλάνου νεύρου, ὡς μηκέτι ἐπισύρειν τὴν ποσθὴν δύνασθαι :—
Περιτομή ἐστιν, ἡ περιδιαίρεσις, ἀφαί— τί ἐστι περιτομή
ρεσις τοῦ σκέποντος τὴν βάλανον δέρματος :— τί ἐστιν αἱμοῤῥοΐς.
Αἱμοῤῥοΐς ἐστιν ἀνευρύσμα τῶν ἐπὶ πλεκόντων τὴν ἕδραν ἀγ-
γείων. εἴρηται δὲ ἀπὸ τοῦ αἷμα δι' αὐτῆς ῥεῖν :— πόσαι διαφοραί
Διαφοραὶ δὲ αἱμοῤῥοΐδων, πέντε, παρὰ τὸ αἱμοῤῥοΐδων.
μέγεθος. παρὰ τὸ πλῆθος. παρὰ τὸ σχῆμα. παρὰ τὸν τόπον. παρὰ
τὴν κακοήθειαν. παρὰ μὲν τὸ μέγεθος ὅτι αἱ μὲν αὐτῶν εἰσὶ μικραί.
αἱ δὲ μεγάλαι. αἱ δὲ μέσαι. παρὰ δὲ τὸ πλῆθος. ὅτι ἐφ' ὧν μὲν
πλείονες συνίστανται, ἐπ' ἐνίων δὲ ἐλάττονες. παρὰ δὲ τὸ σχῆμα,
αἱ μὲν στενὴν τὴν βάσιν ἔχουσιν, αἱ δὲ πλατεῖαι. παρὰ δὲ τὸν
τόπον, ὅτι αἱ μὲν, ἐν δακτυλίῳ γίνονται. αἱ δὲ, ἐν σφιγκτῆρι.
αἱ δὲ, ἐν τῷ ἀποσφυομένῳ. παρὰ δὲ τὴν κακοήθειαν, ὅτι
αἱ μὲν εἰσὶν ἥμεροι, αἱ δὲ, κακοήθεις :— τί ἐστι κονδύλωμα.
Κονδύλωμά ἐστι, δακτυλίου στολίδος ἐπανάστασις μετὰ φλεγμονῆς :—
Σύριγξ ἐστι, ὑποφορὰ τυλώδης στενή, τί ἐστι σύριγξ.
καὶ ἐπιμήκης δυσαπούλωτον ἔχουσα τὸ στόμιον. δι' οὗ ὑγρόν
κατὰ τινὰς τόπους ἐκκρίνεται :— τῶν συρίγγων διαφοραὶ δύο.
Αἱ μὲν γὰρ αὐτῶν εἰσὶ τυφλαί, αἱ δὲ κρυπταί :— τί ἐστι τυφλὴ σύριγξ.
Τυφλὴ σύριγξ ἐστιν, ἡ ἐν τῷ βάθει ἔχουσα τὸ στόμιον, τοῦ μέντοι
κόλπον πρὸς τὴν ἐπιφάνειαν :— τί ἐστι κρυπτὴ σύριγξ.
Κρυπτὴ σύριγξ ἐστίν, ἡ καὶ τὸ στόμιον, καὶ τὸν κόλπον ἐν τῷ βάθει
ἔχουσα :— περὶ τῶν κατὰ τὸν ὄρχιν.
Περὶ τὸν ὄρχιν γίνονται πάθη ζια. κιρσός. στέρα. ῥάκωσις :—
ὅσοι ἐν ὄρχει συνίστανται.

Ὑδροκήλη· ἐντεροκήλη· ὑδρεντεροκήλη· κιρσοκήλη· πωροκήλη· ὑγροκιρσο
ἐπιπλοκήλη· ἐντεροεπιπλοκήλη :— τί ἐστιν ὑδροκήλη.
Ὑδροκήλη ἐστίν, ὑγροῦ ἀργοῦ σύστασις, κατὰ μέρος τοῦ ὀσχέου :— τί ἐστιν ἐντεροκήλη.
Ἐντεροκήλη ἐστίν, ἐντέρου καταλισθαίνοντος εἰς
ἕτερον τόπον κατὰ βραχὺ, ἢ ἀθρόως :— τίνες αἰτία ἐντεροκήλης.
κλ Αἰτίαι τῆς ἐντεροκήλης, ἡ προκαταρκτικὴ ὑπέρτασις, ἡ πληγή. συνεκ-
τικὴ δὲ, ἐπέκτασις, ἢ ῥῆξις τούτου :— τί ἐστιν ὑδρεντεροκήλη.
Ὑδρεντεροκήλη ἐστίν, ἐντέρου καταλίσθησις, καὶ ἀργοῦ ὑγροῦ σύλ-
λογη κατὰ τὸ ὀσχέον :— τί ἐστι κιρσοκήλη.
Κιρσοκήλη ἐστὶν ἀνευρυσμὸς, καὶ μετεωροποίησις φλεβῶν, ἢ πάν- *
των τῶν τρεφόντων τὸν δίδυμον :— τί ἐστιν ὑγροκιρσοκήλη.
Ὑγροκιρσοκήλη ἐστὶν ἀνευρυσμὸς τῶν τρεφόντων τὸν δίδυμον ἀγ-
γείων, καὶ ἀργοῦ ὑγροῦ σύλλογη κατὰ τὸ μέρος τοῦ ὀσχέου :— τί ἐστιν ἐπιπλοκήλη. *
Ἐπιπλοκήλη ἐστὶν ὀλίσθησις ἐντέρου καὶ
ἐπίπλου, κατὰ τὸ μέρος τοῦ ὀσχέου :— τί ἐστιν ἐντεροεπιπλοκήλη.
Ἐντεροεπιπλοκήλη ἐστίν, ὀλίσθησις ἐντέρου, κατὰ τὸ μέρος τοῦ
ὀσχέου :— τί ἐστι κρυψορχις.
Κρυψορχις ἐστίν, ἀναχώρησις διδύμου, ἢ διδύμων :— τί ἐστι ῥάκωσις.
Ῥάκωσίς ἐστιν, ἐπέκτασις πολλὴ τοῦ ὀσχέου :— τί ἐστι πώρωσις ὀσχέου.
Πώρωσις ὀσχέου ἐστὶ, σκληρότης τοῦ ὀσχέου, μετ' ἐπιτεταμένου
κνησμοῦ· ἐσθ' ὅτε δὲ καὶ ἑλκώσεως· ὅτι κοινῶς ὥσπερ γένος ἡ
κήλη πάντων τῶν ῥηθέντων :— τί ἐστι κήλη.
Κήλη ἐστὶν, ὄγκος περιεκτικὸς τινὸς τῶν προειρημένων· πᾶς
γὰρ ὄγκος ἐν ὀσχέῳ ὅμως κήλη λέγεται :— τί ἐστι γάγγραινα.
Γάγγραινά ἐστι, μεταβολὴ τοῦ χρωτὸς τοῦ κατὰ φύσιν ἑκάστου ἐπὶ τὸ
ἀλλότριον καὶ νέκρωσις μεθ' ἑλκώσεως, καὶ δίχα ἑλκώσεως :—
τίς αἰτία γαγγραίνης.

Γίνεται δὲ ἡ γάγγραινα, ἤτοι πλησθείσης προηγησαμένης, ἢ νεκρώσεως γινομένης, ἢ φλεγμονῆς ἐκ χειρουργίας :— τί ἐστιν ὀστοῦν.

Ὀστοῦν ἐστι κατὰ μὲν Πλάτωνα μυελὸς ὑπὸ θερμοῦ πηγνύμενος. κατὰ δὲ ἐνίους τῶν ἰατρῶν σύγκρισις γεώδης καὶ στερεά, καὶ ἀναίσθητος. καὶ ἄναιμος. κοινὰ δὲ ἡ ἀναισθησία καὶ ἀνωμαλία χόνδρου, καὶ ὄνυχος. ἀλλ' ὁ μὲν χόνδρος, ἧττόν ἐστιν ὀστοῦ. πλάττεται γὰρ ἐν τοῖς ἄρθροις πλειστάκις. ὄνυξ δὲ ὀστοῦν τί ἂν ἐπιφάνεια, ἢ δέρματος ἀφανής, σκληρὰ καὶ ψυχρά :— τίς ἐστιν ἑρμαφρόδιτος.

Ἑρμαφρόδιτός ἐστι συμπλοκὴ τοῦ τε ἀρρενικοῦ, καὶ τοῦ θηλυκοῦ χαρακτῆρος. μετὰ τοῦ καὶ ἐν ἀμφοτέροις γεγεννῆσθαι αἰδοῖον ἔχειν :— τί ἐστι δρακόντιον.

Δρακόντιόν ἐστιν, ἕλκος φορὰν ἐπ' αὐτὸ ἔχον νεῦρον ἀπὸ τοῦ πλείστου μέρους. ἐφύεται δὲ δρακόντιον ἐπεὶ ἐν ταῖς κινήσεσιν ἀναχωρεῖ τὸ νεῦρον ἐπὶ τὸ ἕλκος, καὶ κρύπτεται ἐν αὐτῷ :— τί ἐστιν ἧλος.

Ἧλός ἐστιν ἕλκος ἐν πέλματι περιφερὲς καὶ τετυλωμένον :— πόθεν ἐκκρίνεται τὸ σπέρμα καὶ δόξαι διάφοροι.

ὥσπερ λ Ἐκκρίνεται μὲν τὸ σπέρμα, ὥσπερ Πλάτων φησὶ καὶ Διοκλῆς, ἀπὸ ἐγκεφάλου καὶ νωτιαίου. Πραξαγόρας δὲ καὶ Δημόκριτος ἔτι τε Ἱπποκράτης, ἐξ ὅλου τοῦ σώματος :— δόξαι Δημοκρίτου περὶ σπέρματος.

Ὁ μὲν Δημόκριτος λέγων ἄνθρωποι εἷς ἔσται, καὶ ἄνθρωπος πάντες. ὁ δὲ Ἱπποκράτης φησίν. ἡ γὰρ γονὴ πανταχόθεν ἔρχεται τοῦ σώματος, ἀπὸ μὲν τῶν ὑγιεινῶν ὑγιές. ἀπὸ δὲ τῶν νοσερῶν, νοσερά :— δόξα τῶν στωικῶν περὶ σπέρματος

Τὸ σπέρμα ἐστὶ κατὰ μὲν τοὺς στωικούς, ὅπερ ἀφίησι τὸ ζῶον ὑγρὸν μετὰ πνεύματος καὶ ψυχῆς ὡς λουμένους, κατὰ δὲ Ἀσκληπιάδην τὸ ἐν ταῖς ἀφροδισίοις συνουσίαις ἐκκρινόμενον γεννητικὸν ὑγρόν :— εἰ σπερμαίνει τὸ θῆλυ.

Ζητεῖται δὲ εἰ σπερμαίνει τὸ θῆλυ, ὥσπερ τὸ ἄρρεν σπερμαίνει, καὶ γὰρ τὸ θῆλυ τὴν αὐτὴν ὄρεξιν ἔχει, καὶ κοινωνεῖ τῶν αὐτῶν νοσημάτων, καὶ φανερῶς διὰ τῆς

ἀναλογίας δείκνυται τοῖς σπερματικοῖς ἔχειν πόροις. καὶ τὸ μέγι-
στον τοῦ σπερμαίνειν μαρτύριον, αἱ ὁμοιότητες τῶν γενομένων πρὸς τὰς
τεκούσας:— Ὅτι συμβάλλεται τὸ τῆς θηλείας σπέρμα πρὸς ζωογονίαν.

Ὅτι συμβάλλεται μαρτυρεῖ Ἱπποκράτης λέγων ἐν τῷ περὶ παιδίου φύσεως
"ἢν γυνὴ μιγῇ ἀπ' ἀμφοῖν ἐν τῇσι μήτρῃσι τῆς γυναικὸς, πρότε-
"ρον μίσγεται ὁμοῦ ἅτε τῆς γυναικὸς οὐκ ἀτρεμιζούσης, ἀθροίζε-
"ται καὶ παχύνεται θερμαινόμενον, ἔπειτα πνεῦμα ἴσχει:—

Τίνι διαφέρει σπέρμα γόνου.

Διαφέρει δὲ σπέρμα γόνου,
ὅτι σπέρμα μέν ἐστι, τὸ ἐν τοῖς σπερματικοῖς πόροις ὄν. τινὲς δὲ τὸ ἤδη
ζωογονεῖν. καὶ ὡς Ἀσκληπιάδης λέγει, ὅτι τὸ σπέρμα μὲν καὶ τοῖς
μηδέπω γεννᾶν δυναμένοις ὡρισάμεθα. γόνον δὲ μηδέπω
πεπεμμένον σπέρμα:— Ὅτι αἰτίαι τῆς ἀγονίας διτταί.

Ὅτι αἰτίαι τῆς ἀγονίας διτταί, καὶ παρὰ τὸν ἄνδρα, καὶ παρὰ τὸ θῆλυ
καὶ ἑκάτερα πλεοναχῶς. παρὰ μὲν οὖν τὸ θῆλυ, ἤτοι κατάψυχρον
ἐχούσης, ἢ κατὰ πιμελὸν τῆς γυναικὸς τὴν μήτραν. παρὰ δὲ τὸ
ἄρρεν, ἤτοι ὅταν ὑποσπαδίας ᾖ, ἐστερημένος διδύμων, ἢ ἄλλον
τινὰ τρόπον ἔχων νοσήματος:— Εἰ μέρος ἐστὶ τῆς κυούσης τὸ κυούμενον.

Οὐκ ἔστι μέρος, καὶ πάντως φθειρομένου μὲν αὐτοῦ ἀποθνήσκειν
ἐχρῆν ἐξ ἀνάγκης τὴν κύουσαν. καὶ ἀποκνισκομένου βλάπτε-
σθαι πρὸς τὰς ὁλοκλήρους ἐνεργείας ὡς λειπομένης μέρους, καὶ ἀπε-
στερημένου τοῦ σώματος αὐτῆς:— Διὰ τί οὐ διὰ τοῦ στόματος τὸ ἔμβρυον τρέφε-
ται.

Τρέφεται δὲ τὸ ἔμβρυον διὰ τοῦ χορίου λαμβάνον, καὶ ἐπισπώμενον.
τρέφεται δὲ, οὐ διὰ στόματος. ἀλλὰ δι' ὀμφαλοῦ, καὶ ζῶον κατὰ γαστρός.
τινὲς μὲν εἶπον ζῶον, τινὲς δὲ οὔ. ὅσοι μὲν οὖν εἶπον ζῶον ὑπάρ-
χειν αὐτὸ ἐκ τοῦ κινεῖσθαι ἐτεκμήραντο ζῶον ὑπάρχειν αὐτὸ ἐπει-
δὴ γὰρ κινεῖται καὶ τὸ ἔμβρυον. καὶ ὅτι ἥδεται μὲν ἡδομένης τῆς
μητρός, καὶ εὐφραίνεται, ἀνιωμένης δὲ συστέλλεται καὶ συνά-
γεται ἀναστενόμενον ὡς ζῶον. ἡ γὰρ αἴσθησις οὐκ ἄλλῳ τινὶ
ἢ ζώῳ προσφυής. οἱ δ' αὖ μὴ εἶναι ζῶον λέγοντες, τρέφεσθαι

μὲν αὐτὸ καὶ αὔξεσθαι, ὥσπερ καὶ τὰ δένδρα, ὁρμὴν καὶ ἀφορμὴν
οὐκ ἔχειν, ὥσπερ τὰ ζῶα, οὐ γὰρ αὐτοπροαιρέτως οὐ μόνον κι-
νεῖται, ἀλλ' οὔτε κατὰ προαίρεσιν κινεῖσθαι, ἀλλ' ὡς τὰ δένδρα
καὶ τὰ φύλλα. τοῖς μὲν γὰρ αἴτιος τῆς κινήσεως ἄνεμος. ἐμβρύοις
δὲ ἡ περὶ αὐτὰ ὑγρότης καὶ ὄλισθος. καὶ τὸ σχῆμα τῆς μήτρας,
πληρουμένη γὰρ σφαιροποιεῖται. σχῆμα δὲ ἡ σφαῖρα εἰς πᾶ-
σαν κίνησιν εὐφυὴς ἅτε βάσεως ἁπάσης ἄμοιρος. ἀσκλη-
πιάδης δ' οὔτε ζῶον, οὔτε μὴ ζῶον εἶπε τὸ ἔμβρυον. ἀλλ' ὅμοι-
ον εἶναι αὐτὸ τοῖς κοιμωμένοις οὗ τινα γὰρ τρόπον ἐκεῖ-
νοι μὲν ἔχουσι τὰς αἰσθήσεις, οὐ χρῶνται δὲ αὐταῖς. οὕτως δὲ
καὶ τὸ κατὰ γαστρός:— πότε γίνεται ἄρρεν καὶ πότε θῆλυ.

Γίνεται δὲ ἄρρεν κατὰ μέν τινας, ἐπειδὰν τὸ ἐκ τῶν δεξιῶν ἀποσπασθὲν
σπέρμα καταβληθῇ εἰς τὴν μήτραν. θῆλυ δὲ ἐκ τῶν ἀριστερῶν.
ἄλλοι δὲ ἔφασαν καὶ τὴν τοῦ σπέρματος ὕλην, συγκινήσαντα· ἤτοι
παρὰ τὴν θερμότητα, ἢ τὴν ψυχρότητα γίνεσθαι. τὸ μὲν γὰρ θερ-
μότερον σπέρμα ποιεῖ τὸ ἄρρεν. τὸ δὲ ψυχρότερον, τὸ θῆλυ:—

Τὰ δὲ δίδυμα καὶ τρίδυμα γίνεται πῶς γίνεται δίδυμα.
κατὰ μέν τινας διὰ τὸ εἰς θερμὴν τὴν μήτραν καταβαλλόμενον σπέρ-
μα, θραύεσθαι, καὶ ποιεῖν οὕτω τὰ δίδυμα καὶ τρίδυμα.
ἄλλοι δὲ τὰς ἐπιπλοκὰς ᾐτιάσαντο. ἡμεῖς δὲ φαμέν. ὅτι ἂν
εὑρεθῇ τὸ σπέρμα εἰς ἀμφω τὰ μέρη, γίνεσθαι τὰ δίδυμα:—

Τέρατα δὲ γίνεται, ὡς μέν τινες πῶς γίνεται τρίδυμα
λέγουσι. κατὰ παρέγκλισιν τῆς μήτρας. τὸ γὰρ σπέρμα παρεγ-
κλιθὲν γενόμενον. ἀνώμαλον, ποιεῖ τὰ τέρατα. ὃν τρόπον καὶ τὸν
μόλιβδον θερμὸν ὄντα, ἐπειδὰν καταχυθῇ ἀνωμάλως.
ἄνισον μᾶλλον ποιεῖ τὸ δημιούργημα. τὰ δὲ τέρατα, ἤτοι κατ' ἔλ-
λειψιν, ἢ κατὰ πλεονασμὸν γίνεται. ἢ κατὰ μέγεθος. ὡς τὰ με-

γαλοκέφαλα· τὰ δὲ καὶ μικρόλιθα, ὥς τὰ στρουθοκέφαλα· τὰ δὲ
καὶ πλεονάζοντα, ὥσπερ τὰ ἑξαδάκτυλα· καθόλου δὲ καὶ πλεο-
ναδάκτυλα :— διὰ ποίαν αἰτίαν τῶν ἑπταμήνων
γονίμων ὄντων, τὰ ὀκτάμηνα ἄγονά ἐστι·
Λέγεται οὕτως, ὅτι ὁ τῶν ὀκτὼ ἀριθμὸς ἄγονός ἐστι, καὶ συνεζευγμέ-
νος, καὶ διὰ τοῦτο ἀκρίσιμος :— τίς αἰτία συλλήψεως·
Αἰτία συλλήψεώς ἐστιν, ἡ τῆς μίξεως σύμμετρος θερμασία, καὶ
πρόσφατος τῶν ἐμμήνων κάθαρσις, καὶ ὄρεξις· ταῦτα γὰρ ὁ-
μοῦ συνελθόντα, κατέχει τὸ σπέρμα :— τί πρὸ τοῦ ἐμβρύου
Πρῶτον συνίσταται τοῦ ἐμβρύου τὸ χορίον, τὸ χορίον·
εἶτα τὰ λοιπά :— ἐκ τίνων συνέστηκε τὸ χορίον·
Τὸ χορίον μὲν συνέστηκεν ἐκ δύο φλεβῶν, καὶ δύο ἀρτηριῶν, καὶ
περιπλόου τοῦ καλουμένου οὐράχου :— διὰ τί ἐκλήθη χορίον·
Ἤτοι ἐπειδὴ χώρημά ἐστι τοῦ ἐμβρύου, τὸ ὄνομα χορίον· ἢ
ἐπειδὴ χορηγεῖ τὴν τροφὴν αὐτῷ :— τίνες εἰσὶν ὠδῖνες·
Ὠδῖνές εἰσι, πνεύματος ἀθρόου καταφορὰ, πρὸς τὴν ἐκδρο-
μὴν τοῦ ἐμβρύου :— διὰ τί τὰ καταμήνια ἐπέχεται τῇ γυναικί·
Τὰ καταμήνια ἐπέχεται τῇ γυναικὶ πρὸς ὥρας ἐκκενούμενα·
ἐπισχεθέντα ἢ διὰ τὴν σύλληψιν τοῦ ἐμβρύου, τὴν τροφὴν
παρέχει· γίνονται δὲ καὶ πρὸς σύλληψιν, καὶ πρὸς τὴν τοῦ γά-
λακτος γένεσιν :— πότε συμβαίνει ταῖς κυούσαις ἡ κίττα·
Ταῖς κυούσαις ἡ κίττησις συμβαίνει μετὰ δύο που, ἢ τρεῖς τῆς
συλλήψεως μῆνας, στομάχου πάσχοντος· τὸ γὰρ ἔμβρυον,
οὐδέπω δύναται καὶ ἀναλίσκειν τὴν τροφήν :— τίς αἰτία κίττης·
Αἰτία γίνεται τοῦ πλεονάζειν τὴν ὕλην καὶ ταραχὴν ἐργάζεσθαι
τοῦ στομάχου ἀμελεῖ· ἐπειδὰν αὔξησιν λάβῃ τὸ ἔμβρυον τοῦ
αἵματος· ἐπ' αὐτὸν ὁ στόμαχος ἀποκαθίσταται :— σχῆμα τί ἐμβρύου· δλ
Ἐν μὲν τῷ κατὰ φύσιν, ὅ ἐστιν ἐπὶ κεφαλήν· τὰ δὲ λοιπὰ ξένα, ἅτινα

παρὰ φύσιν ἐστὶ τὸ ἐπὶ πόδας· τὸ πλάγιον· καὶ τὸ διπλοῦν:—

Αἱ δυστοκίαι, καθ' ἕξ γί- τρόποις γίνονται δυστοκίαι·
νονται τρόποις· καὶ κύουσαν· καὶ τὸ κυόμενον· καὶ ἔξωθεν· καὶ
τὴν κύουσαν διχῶς· ψυχικῶς μὲν ζηλοτυπίαις ἐχομένην· ἢ
λύπαις· ἢ ἄλλῳ τινὶ πάθει· σωματικῶς δὲ ἢ στενόπορον οὖσαν
ἢ καταπίμελον, ἢ πρώτως κύουσαν· ἢ ἄτροφον ἔχουσαν τὴν μή-
τραν· παρὰ δὲ τὸ κυούμενον· ἤτοι ὅταν ἐναποθάνῃ· ἢ δίδυμον·
ἢ τερατῶδες· παρὰ δὲ τὰ ἔξωθεν· χειμῶνος ἐπιτεταμένου·
ἢ καύματος σφοδροῦ:— πόσαι καὶ τίνες αἰτίαι, τῶν καὶ τὰς μήτρας παθῶν

ἑλκῶν Αἰτίαι τῶν καὶ τὰς μήτρας παθῶν, ὅτε μὲν ἀπόστημα· ὅτε δὲ πτωσὸς
φθόριος· ὅτε δὲ ἐν μήτρᾳ σκίρρος· ἔστι δὲ χρόνιος οὗτος μετ' ἄλλων:—

Ἡ ἐν μήτρᾳ ἐμβρυοτομία ἐστί· σπλήν τί ἐστι ἐμβρυοτομεῖσθαι μήτραν·
ἀθροισμένης ἐκφύσεις τὸν βρέφει διὰ μέλος ἀποσφάξαντα ἢ με-
γάλην ἤδη προκαταληφθὲν, ἵνα τάχιον νεκρωθῇ· εἶτ' ἔμβρυα-
τα παραχρῆμα βαστάζειν:— τί ἐστιν αἱμορραγία

Αἱμορραγία ἐστίν, αἵματος λάβρου ἔκχυσις· καὶ πολύρρυσις μετὰ
μεγάλης ὁσίης διακρίσεως· καὶ ἀποκλεισμένη δὲ, εἰς στενώτατα τυγ-
χάνων· ὡς ἐπὶ τῶν φλεβοτομιῶν:— τί διαφέρει αἱμορραγία αἱμορροΐδος·

Διαφέρει αἱμορραγία αἱμορροΐδος, ὅτι ἡ μὲν αἱμορραγία
ὡς ἔφην λάβρος ἐστὶ αἵματος ἔκχυσις· ἡ δὲ αἱμορροῒς καὶ περι-
πήδησιν, ἢ κατ' ὀλίγον αἵματος διαφορά:— πόσοι τρόποι αἱμορραγίας·

Τρόποι αἱμορραγίας, ἢ κατὰ διαπήδησιν, ἢ κατὰ ῥῆξιν·
ἔστι δὲ ἢ κατὰ διαπήδησιν, καὶ ἢ κατὰ διάβρωσιν ἐν ἡμῖν ἀγγείων, δυς-
βοήθητος, ἀρτηρίαι μᾶλλον ἢ φλέβες· καὶ τὰ ἐν βάθει τῶν
παρὰ τὴν ἐπιφάνειαν, καὶ τὰ γειτνιῶντα τοῖς τόποις:—

Εἰσὶ δὲ ἐν ἡμῖν μόρια, εὐαιμορράγητα, καὶ δυσεπίσχετα·
εὐαιμορράγητοι καὶ δυσεπίσχετοι τόποι· κροταφῖται· ῥῖνες· μή-
νιγγες· ὀπίσω· κιονίς· τράχηλος· μασχάλαι· βουβῶνες·

καὶ τὰ τοσουτόζοντα. κατὰ δὲ ἀκμάζοντας, παρ᾽ ἡλικίαν μὲν οἱ νέοι.
πλέξιν δὲ, οἱ κακόχυμοι. κατὰ τὴν ὥραν, ἐν τῷ θέρει:— τί ἐστι χυμός.

Χυμὸς κατὰ μὲν Ἱπποκράτην, διὰ παντὸς ἐπὶ τῶν καὶ σῶμα τέτακται
χυμῶν, ἐξ ὧν ἡμῖν ἐστιν ἡ σύστασις. αἵματος. φλέγματος. χολῶν
δύο. ξανθῆς τε καὶ μελαίνης. κατὰ δὲ Πλάτωνι καὶ Ἀριστοτέλει, ἡ
γευστικὴ ποιότης, καὶ ἑκάστη τῶν ὄντων ἐν ἡμῖν, χυμὸς ὀνομάζεται.
εἰσὶ δὲ ποιότητες. ὀξύτης. αὐστηρότης. στρυφνότης. δριμύτης.
ἁλυκότης. γλυκύτης. οὕτω καὶ Μνησίθεος βούλεται. ἐν τῷ παθο-
λογικῷ τῆς ἰατρικῆς μέρει. περιέχεται καὶ ὁ ποῖον ἐστὶ καθόλου.
καὶ τί τὸ καὶ μέρος πάθος καὶ νόσημα, καὶ τί αἴτιον. καὶ τί σύμπτωμα.
καὶ τίνες τούτων διαφοραί. πολυειδὲς δὲ αὐτὸ τοῦτο τὸ πάθος τῶν
νοσοποιῶν αἰτιῶν, καὶ τοῖς τόποις, περὶ οὓς ἐστιν αὐτὰ τὰ πάθη.
ζητοῦμεν γὰρ τί πάθος. φρενῖτις. ἐπιληψία. λήθαργος. πλευ-
ρῖτις. περιπνευμονία. παράλυσις. καὶ τὰ ἑξῆς. ἔστι δὲ τούτων τὰ
μὲν πρόδηλα, τὰ δὲ οὐ πρόδηλα. καὶ προκαταρκτικὰ, καὶ προη-
γούμενα, καὶ συνεκτικά, καὶ καθόλου τίς ἡ κατασκευὴ τοῦ
πάθους. καὶ περὶ τίνα τόπον τοῦ σώματος ἔρχεται:— τί ἐστι κρίσις.

Κρίσις ἐστὶν ἡ ὀξεῖα, καὶ ὀξύρροπος ἐν χρόνῳ διάλυσις:—

Καὶ περίοδος ἐστὶ τεταγμένου χρόνου — τί ἐστι περίοδος.
ἀνταπόδοσις, ὅτε ὁ ἐγκέφαλος τὴν ψυχικὴν ἔχει δύναμιν.
καὶ τὰς τῶν τὸ ἡγεμονικόν. ὅπερ ἐστὶ λογιστικόν. καὶ ὁ νοῦς. ἡ δὲ
καρδία τὸ θυμικόν. διοικεῖται δὲ τὸ μὲν σῶμα ὑπὸ τῆς καρδίας
φυσικῶς, καὶ τοῦ ἥπατος ὁμοίως. δύναμις δὲ φυσική, ἥ τε
αὐξητική τε καὶ θρεπτική. λαμβάνει δὲ ἡ καρδία εἰς τὸ τρέφειν
καὶ αὔξειν τὸ σῶμα. αἷμα μὲν παρὰ τοῦ ἥπατος. πνεῦμα δὲ παρὰ
τοῦ πνεύμονος, ἃς τινας ὅλας δεξαμένη παρὰ τῶν εἰρημέ-
νων μορίων ἡ καρδία οἰκονομήσασα δὲ καὶ ἐργασαμένη. αὐτὸ
εἰς ἅπαν διαπέμπει τὸ σῶμα:— τί ἐστιν ὀργανική.

Ὀργανική ἐστι μέρος χειρουργίας περὶ ποιοῦν διὰ καταρτισμὸν,
τοῖς ἢ τῆς ἀκολούθου θεραπείας τῆς παρὰ φύσιν διαλυθεῖσιν ἀν-
θρωπίοις ὀστοῖς τοῦ συμβαίνειν :— κατὰ τοὺς τρόπους σύγκειται ἐν ἡμῖν ὀστᾶ.
Κατὰ δύο τρόπους σύγκειται ἐν ἡμῖν ὀστᾶ· κατ' ἄρθρον, ἢ
κατὰ ἁρμονίαν :— τί ἐστιν ἄρθρον.
Ἄρθρον ἐστιν, ὀστῶν κατὰ φύσιν κινουμένων σύμβολή :—
Ἁρμονία ἐστιν ὀστῶν ἀκινητούντων τί ἐστιν ἁρμονία
κατὰ φύσιν συμβολή :— τί ἐστιν ὀλίσθημα.
Ὀλίσθημά ἐστι, τῶν κατ' ἄρθρον, ἢ κατ' ἁρμονίαν κινουμένων ὀστῶν
φορὰ εἰς τὸ παρὰ φύσιν :— τί ἐστιν ἐξάρθρημα.
ἐκτ:, ηρμένη Ἐξάρθρημα ἐστιν, ὀστοῦ κινουμένου κατὰ φύσιν ἐκ κοτύλης
βαθείας ἔκβασις, εἰς τὸν τόπον τὸν παρὰ φύσιν :— τί ἐστι παρα-
Παράρθρημά ἐστι, παραλλαγή, ἢ φορὰ ὀστοῦ κατὰ ρθρημα.
φύσιν εἰς τὸν παρὰ φύσιν τόπον :— τί ἐστι κίνημα,
Κίνημά ἐστι, τὸ κατὰ γόμφωσιν, ἢ κατὰ ἁρμονίαν συγκειμένων
ὀστῶν, ἐκ τοῦ αὐτοῦ τόπου εἰς τὸν παρὰ φύσιν τόπον ἔκστασις,
ὥσπερ ἐκ τάρσου, ὀστῶν ῥαγέντων, ἢ σπονδύλων ἔστι
γίνεσθαι :— τί ἐστι διάστασις.
Διάστασίς ἐστι, τῶν κατὰ ῥαφήν, ἢ κατὰ σύμφυσιν συγκειμένων ὀστῶν
χωρισμός, ἢ διάστασις ἀπ' ἀλλήλων :— τί ἐστι καταρτισμός.
Καταρτισμός ἐστι μεταγωγὴ ὀστοῦ, ἢ ὀστῶν ἐκ τοῦ παρὰ φύσιν
τόπου, εἰς τὸν κατὰ φύσιν :— τί ἐστι τάσις.
Τάσις ἐστὶν ὁλκὴ σωμάτων :— τί ἐστι μοχλεία.
Μοχλεία ἐστὶ μεταγωγὴ ὀστοῦ ἢ ὀστῶν, ἐκ τοῦ παρὰ φύσιν τόπου,
εἰς τὸν κατὰ φύσιν :— τί ἐστι κατάτασις.
Κατάτασίς ἐστιν ὁλκὴ σωμάτων εἰς τοὺς κάτω τόπους. ταύτης ἡ
ἡμῖν τις ἐστιν ὁλκὴ σωμάτων εἰς τοὺς κάτω τόπους τῶν ἀρχῶν

καθ' οὗ δὴ ἀποδιδομένων τῶν τῆς στάσεως αἰτιῶν. ἡ δὲ καὶ ἀντιμε-
τάληψίν ἐστιν ὁλικὴ σωμάτων τόποις μεταλαμβανομένων τῶν ἀν-
τῶν διὰ τροχιλίαν ἄνω προσδεδομένων τῶν τῆς στάσεως αἰτιῶν.
ἡ δὲ κατὰ μετάληψιν ἀνάστασις, νοεῖται δύναται ἀπὸ τῶν ἐπὶ
τῆς καταστάσεως εἰρημένων :— ἡ ἐστὶ διάστασις.

Διάστασίς ἐστιν ὁλικὴ σωμάτων εἰς τοὺς ἄνω καὶ κάτω τόπους :— ἡ ἐστιν ἐξολκυσμός.

Ἐξολκυσμός ἐστι μεταγωγὴ ὀστοῦ, ἢ
ὀστῶν ἐκ τῆς ἐπιφανείας εἰς τὸ βάθος :— ἡ ἐστι φράγμα.

Φράγμα ἐστὶ μεταγωγὴ ὀστοῦ, ἢ ὀστῶν ἐκ τοῦ βάθους εἰς τὴν ἐπι-
φάνειαν :— ἡ ἐστι μεταγωγή.

Μεταγωγή ἐστι διεστραμμένου ὀστοῦ κατὰ ἀνάκλασιν εἰς τὸν τόπον
κατὰ φύσιν :— ἡ ἐστιν ἔκστασις.

Ἔκστασίς ἐστιν, ὀλιγοχρόνιος μανία :— ἡ ἐστιν ἔκπληξις.

Ἔκπληξίς ἐστι διανοίας ἔκστασις, διά τινα πρᾶξιν ἀφνήδιον
ἔξωθεν :— ἡ ἐστιν ἐνθουσιασμός.

Ἐνθουσιασμός ἡ ἐστι, καθάπερ ἐξίστανταί τινες ἐπὶ τῶν ὑποθυ-
μιωμένων ἐν τοῖς ἱεροῖς ὁρῶντες, ἢ τυμπάνων, ἢ αὐλῶν,
ἢ συμβόλων ἀκούοντες :— τῷ θεῷ δόξα :—

rf::
ndμe

MEDICAL DEFINITION OF GALEN. PART OF THE BODY. DISEASES ETC.







The Wellcome Library
colorchecker CLASSIC
x-rite

 

-βος :~ τί ἐστι στόμαχος

ἐστὶ νευρώδης, καὶ ὄργανον ὀρέξεως, καὶ κατα-
καὶ πόρος ὑγρᾶς καὶ ξηρᾶς τροφῆς :~ κοιλία
νευρώδης· ὑποδοχεῖον τροφῆς, ὑγρᾶς καὶ
πρὸς τὸ πέττεσθαι τὴν τροφὴν, κατεσκευασ-
... ἔντερα
... δὲ πρὸς
... νεφροὶ
... σύγ-
... ωποι
... τί ἐστι κύστις
... ἐπικροὶ
... υμοι
... θερμοί,
... ματος :~
... βασάνοι
... νικαιαν
... εα
... νδοθεν
... ἐπικρατο
... σῶμα-
... ρος
... ιλυξίαν
τί ἐστι οὖρ-
το περίσσωμα τοῦ αἵματος ἐν τῇ μεγάλῃ φλε-
... βοτρόμενον διὰ νεφρῶν καὶ οὐρητήρων ἐν τῇ κύστει :~
... πόσοι χυμοί ... ὅσοι χυμοὶ ἐξ ὧν τὸ